385
L 11

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

ΙΣΟΚΡΑΤΟΥΣ

ΠΡΟΣ

ΔΗΜΟΝΙΚΟΝ

λόγος παραινετικός.

ΠΡΟΣ ΝΙΚΟΚΛΗΣ

περὶ βασιλείας.

ΝΙΚΟΚΛΗΣ

ἢ συμβουλευτικός.

385 L 11

Koninklijke Bibliotheek 's Hage.



LVGDVNI BATAVORVM,
Sumptibus HENRICI LAVRENTII,
Typis WILHELMI CHRISTIANI.
cIↃ IↃ c XXXV.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

ΥΠΟΘΕΣΙΣ.

Η προαίρεσις τ̃ ὁσκοπὸς τ̃ λόγ ε ἐσὶν, ὅπερ δήπ ε καὶ ἐξ αὐτ̃ τ̃ ἐπιγραφ̃ς παντὶ τῷ δ̃ηλον, τὰς τ̃ν νεωτέρων ψυχὰς εἰς τὰς καλὰς τ̃ν πράξεων παροξυν̃σαί τε τ̃ παιδαγωγ̃σαι, ὅπως ἂν τ̃ν ἑαυτ̃ν βίον ἀμόχθου τ̃ εὐδαίμονος τ̃ συμφέροντος, ἀλλὰ τ̃ μ̃ καλ̃ς δόξης, τ̃ ἐπαινέμβροι διαγάγωσι. πάντως δ̃ν χρὴ τὰς ἐλευθέρους τ̃ν παίδων ἐπιμανθάνειν τὰς ἰδίσας τάξεσι, καὶ μάλισα σωφρονούσ̃ς ἐπαινέσ̃ς. οὐκ οἷόν τε γὰρ ἑνὶ πόνῳ τοσούτ ε τ̃ πόν ε μεταμελ̃σαι, ἄξιον δ̃, σχολ̃ς ἐγχρονούσ̃ς, τ̃ ἡλικίας αὐξηθείσ̃ς, ἑκάσ ε τ̃ν ὑπ̃νημάτ̃ν ἀπολογ̃σαι, τ̃ γνώμας ὁμοίας, τ̃ ἐπιδείγμασι τοῖς τε τ̃ν ποιητ̃ν, τ̃ τ̃ν συγγραφέων, οἷς ὁ τ̃ καθ' ἑκάσ ε ἡμέραν σαφηνίσαι βίον. ἐκεῖνο δ' ἂν πάντων μάλισα πρέποι γνῶναι ἐπισκέψασθαι, ποσάκις τ̃ ὁσιωτάτ̃ς διδασκαλίας ἢ ἀσχ̃σας, ἢ κ̀ καταφρονήσας, ὡς μεγάλας τ̃ πολλὰς τ̃ ἀβελίας τε καὶ ἐπετείας ὑπέχεις ποινάς. ἐντεῦθεν ὁ ἐπιγνώσ̃ ἄν τις,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

μὴ μόνον τὸ τῶν ἑτέροις ἢ πεπραγμένων, ἢ εἰρημένων, ἢ καὶ συμπεπλωκότων γίγνεσθαι κεφαλαιώτερον, ἢ τῆς βιβλίου μᾶλλον ἐφικέσθαι διανοίας· ἀλλὰ καὶ τὸ δι' ὅλου τοῦ βίου μελετᾶν τὴν σοφίας μετὰ καλοκαγαθίας συζυγίαν, καὶ τὸ ἀπαίδευτον σωλῆνος ἐπονειδίστου δεδιέναι. τάξιν ἢ ἀριθμὸν (οὐδὲν γὰρ ἄτοπον ἢ πλείω ἑνῶσαι, ἢ ἕν τι εἰς πλείω μερίζειν) ἐνταῦθα προσεργάζεσθαι δεῖ. σωρεύσεις γὰρ αἱ τοιαῦται καὶ πάνυ μὲν εἰκῇ, ἧττον δέ γε ἀκεραίως τῶν Κικέρωνι προσκαθημένων, ἢ Ἀριστοτέλει προσκαθημένων, μήτ' ἀεὶ ὃ αἰτιολογίας προσδεῖται, (ἐστὶ γὰρ ἡ μέθοδος ἐξηγητικὴ μᾶλλον ἢ ἀποδεικτική) ἀλλ' ὅσα ἰσοκρατεῖ μεταξὺ διανοημάτων καὶ συγγράφοντι ἐπῆλθε, ταῦτα κατὰ τὸ δοκοῦν αὐτῷ παρείληπται εἰς τιθήνησιν. προσκοπεῖν ὃ καὶ κεῖνο, ὅτι αἱ προσθέσεις μεγάλην ἀποδείκνυσι τοῦ προσόντος καὶ ἐπαίνου, καὶ τῶν ἐναντίων ἰδίοις χορηγεῖ. μέρη ὃ τῆς λογικῆς· προοίμιον, καὶ προσθέσεις, καὶ ἐπίλογος. ἐν μέσῳ γὰρ προσκοπῶν μάλιστα ἔνεστιν αἱ τοιαῦται.

ΙΣΟ-

ΙΣΟΚΡΑΤΟΥΣ

ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ

λόγος παραινετικός.

ΕΝ πολλοῖς μὲν, ὦ Δημόνικε, πολὺ διεσώσας διήρημαι, τάς τε τῶν ἀνδρῶν γνώμας, καὶ τὰς τῶν φαύλων διανοίας· πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν τῷ πρὸς ἀλλήλους σωφρονεῖν. οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν· οἱ δὲ καὶ μακρὰν ἀπόντες ἀγαπῶσι· καὶ τὰς μὲν τῶν φαύλων σωφροσύνας, ὀλίγος χρόνος διέλυσε· τὰς δὲ τῶν ἀνδρῶν φιλίας, ἀεὶ αὔξων ὁ πᾶς αἰὼν ἐξαλείψειεν. ἡγοῦμαι δὲ δεῖν πείθειν τοὺς δόξης ὀρεγομένους, καὶ παιδείας ἀντιποιουμένους, τῶν ἀνδρῶν, ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητάς, ἀπεσταλκός σοι τόνδε τὸν λόγον δῶρον, τεκμήριον μὲν τῆς πρὸς ἡμᾶς φιλίας, σημεῖον δὲ τῆς πρὸς Ἰπποκλέα σωφροσύνης. πείθω γὰρ τοὺς παῖδας, ὥσπερ τὴν οὐσίαν, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν. ὁρῶ δὲ καὶ τοῦ τύχου ἡμῖν συλλαμβανόντος, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον. σὺ μὲν γὰρ, παιδείας ἐπιθυμεῖς· ἐγὼ δὲ, παιδεύειν ἄλλους ἐπιχειρῶ. καὶ σὺ μὲν, ἀκριβῶς φιλοσοφεῖς· ἐγὼ δὲ, τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς πρεσβυτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν, ἀκριβῶς δεῖ γε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβειν. ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ δ' ὧν τοῦ δυνατοῦ ἕνεκα τοῦ ἐν τοῖς λόγοις ἀσκήσεως, ἀλλ' ὅπως τὰ τῶν τρόπων ἤθη, σωφρόνων δόξουσι· τοσοῦτῳ

σὺτῳ μᾶλλον ἐκείνων τὰς ἀκύρους ὠφελῆσιν, ἢ σὸν, οἱ μὴ, ὅτι λόγον μόνον ὠφελήσειν οἱ ἢ, καὶ τ' τρόπον αὐτ' ἐπανορθῶσι. διόπερ ἡμᾶς ἃ ὠφελήκλησιν ἀξιοῦντες, ἀλλὰ ὠφελίνεζιν ζητοῦντες, μέλλωμὴ σοι συμβουλεύειν, ὧν χρὴ τὰς νεωτέρας ὁρμᾶσθαι, ἐ πόνων ἔργων ἀπέχεσθαι, ἐ τοίοις τισὶν ἀνθρώποις ὁμιλεῖν, ἐ πῶς ἑαυτῶν βίον οἰκονομεῖν. ὅσοι γὰρ ἐ βίᾳ τούτων τ' ὁδὸν ἐπορεύθησαν, ἢ τοι μόνοι τ' ἀρετῆς ἐφικέσθαι γνησίως ἠδυνήθησαν. ἧς οὐδὲν κτῆμα σεμνότερον, οὐδὲ βεβαιότερον ἐστί. κάλλος μὴ γὰρ, ἢ χρόνος ἀνάλωσεν, ἢ νόσος ἐμάρανε· πλοῦτος ἢ. κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπερέτης ἐστὶν, ἐξουσίαν μὴ, τῇ ῥᾳθυμίᾳ ὠφελισκόμενος, ὅτι ἢ τὰς ἡδονὰς, τὰς νέους ὠφελκαλῶν· ῥώμη ἢ, μετὰ μὴ φρονήσεως, ὠφέλησεν· αὐτὸ ἢ τούτης, πλείω τὰς ἔχοντας ἔβλαψε. ἐ τὰ μὴ σώματα τ' ἀσκούντων, κόσμησε· ταῖς ἢ τ' ψυχῆς ὅτι μελείαις ἐπεσκόπησεν. ἡ ἢ τ' ἀρετῆς κτῆσις, οἷς αὖ ἀκριβῶς ἐν ταῖς διανοίαις σωσαυξηθῇ, μόνη μὴ συγγενόμενα, πλεῖστα ἢ κρείττων· χρησιμωτέρα ἢ ὠφελείας ἐστὶ, τὰ μὴ τοῖς ἄλλοις ἀδυνάτοις, δυνατὰ καθιστῶσι· τὰ ἢ τῷ πλήθει φοβερὰ, θαρσαλέως ὑπομένουσι καὶ τὸν μὴ ὀκνον, φόνον· τὸν ἢ πόνον, ἔπαινον ἡγεμόνη. ῥᾴδιον ἢ τοῦτο καταμαθεῖν ἐστὶν, ἔκ τε τ' Ἡρακλέους ἄθλων, καὶ τῶν Θησέως ἔργων. οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον ὄνδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν, ὥστε μηδὲ τ' ἅπαντα χρόνον δυνατὸν λήθῃ ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμένων. ἀ μὴν ἀλλὰ, καὶ τὰς ἐ πατρὸς προαιρέσεις ἀναμνησθεῖς, οἰκεῖον καὶ καλὸν ἕξεις ὑπόδειγμα τῶν ὑπ' ἐμοῦ λεγομένων. οὐδὲ γὰρ ὀλιγωρῶν τῆς ἀρετῆς, οὐδὲ ῥᾳθυμῶν διετέλεσε τὸν βίον, ἀλλὰ τὸ μὴ σῶμα

τοῖς

τοῖς πόνοις ἐγύμνασε· τῇ δ' ψυχῇ τὸς κινδύνους ὑπέμεμνεν. ἀδὲ τὸν πλοῦτον ὡδιαφόρως ἠγάπα· ἀλλ' ἀπέλαυε μὲν τῶν παρόντων ἀγαθῶν, ὡς ἥκιστα· ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων, ὡς ἀθάνατος. ἀδὲ παῤῥησίας διώκει τὸν ἑαυτοῦ βίον, ἀλλὰ φιλόκαλός τε ἦν καὶ μεγαλοπρεπής, καὶ τοῖς φίλοις κοινός· καὶ μᾶλλον ἐθαύμαζε τὸς σὺν αὐτὸν σωδιάζοντας, ἢ τοὺς τῷ πλούτῳ θεραπεύοντας· ἡγεῖτο γὰρ εἶναι θεὸς ἐπιεικείαν, πολλῷ κρείττω φύσιν νόμου· καὶ τρόπον, πλούτου· καὶ θεραπείαν, ἀνάγκης. ἅπαντι δ' αὖ ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις καταμνημονεύσαιμεν· ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς διηλώσομεν· δεῖγμα δὲ τῆς ἱπποτικῆς φύσεως, νῦν ἐξενεγκάμενος, θεὸς ὃ δεῖ ζηλοῦσε, ὥσπερ θεὸς παράδειγμα, νόμον μὲν, τὸν ἐκείνου τρόπον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γενόμενον. αἰσχρὸν γὰρ τὸς μὲν γραφεῖς, ἀπεικάζειν τὰ καλὰ τῶν ζώων· τὸς δὲ παῖδας, μὴ μιμεῖσθαι τὰς σωδαίους τῶν γονέων. ἡγοῦ δὲ, μηδενὶ τῶν ἀθλητῶν ἧττον θεραπεύειν, ἢ τὰς ἀγωνιστὰς ἀσκεῖν, ὡς σοι σκοπεῖν, ὅπως ἐφάμιλλος γένησῃ τοῖς πατρικοῖς ἐπιτηδεύμασιν· ἧττον δὲ τὴν γνώμην ἀδύνατον διαπεθεῖναι, τὸν μὴ πολλῶν καὶ καλῶν ἀνεσμάτων πεπληρωμένον. τὰ μὲν γὰρ σώματος, τοῖς συμμέτροις πόνοις· ἡ δ' ψυχὴ, τοῖς σωδαίοις λόγοις αὔξεσθαι πέφυκε. διόπερ ἐγώ σοι παρεσόμην σωτόμως ὑποθέσθαι, δι' ὧν ἂν μοι δοκῇς ἐπιτηδευμάτων πλεῖστον θεὸς ἀρετὴν ἐπιδοῦναι, καὶ πολὺ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις διενεγκεῖν.

Πρῶτον μὲν οὖν εὐσέβει τὰ θεὸς τοὺς θεούς, μὴ μόνον θύων,

θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων. ἐκεῖνο μὲν γὰρ, τῆς τῶν χρημάτων ἀπορίας σημεῖον· τοῦτο δὲ, τῆς τῶν τρόπων καλοκαγαθίας τεκμήριον.

Τίμα τὸ δαιμόνιον, ἀεὶ μὲν, μάλιστα δὲ, μετὰ τῆς πόλεως· οὕτω γὰρ δόξεις, ἅμα τε τοῖς θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν.

Τοιοῦτον γίνου περὶ σεαυτὸν, οἵους ἂν ἀξιοῖ περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ παῖδας.

Ἄσκει τε περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα. τοῦτο δ' ἂν διπυγχάνοις, εἰ λήξοις τῶν πόνων, ἔτι πονεῖν δυνάμενος.

Μήτε γέλωτα προπετῆ σέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου. τὸ μὲν γὰρ, ἀνόητον· τὸ δὲ, μανικόν.

Αἰσχρὸν αἰσχρὸν, τοῦτο νόμιζε μηδὲ λέγειν εἶναι καλόν.

Ἔθιζε σεαυτὸν εἶναι μὴ σκυθρωπὸν, ἀλλὰ σώφρονα. δι' ἐκεῖνο μὲν γὰρ, ἀηδὴς· διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις.

Ἧγοῦ μάλιστα σεαυτῷ πρέπειν κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην. τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος.

Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας, ἔλπιζε λήσειν. κἂν γὰρ σὺ τοῦτ' ἄλλους λάθῃς, σαυτῷ γε σαφὴς εἶ.

Τὸν μὲν θεὸν, φοβοῦ· τοὺς δὲ γονεῖς, τίμα· τοὺς δὲ φίλους, αἰσχύνου· τοῖς δὲ νόμοις, πείθου.

Τὰς ἡδονὰς ἧρδε τὰς μετὰ δόξης. τέρψις γὰρ, σὺν τῷ καλῷ μὲν, ἄριστον· ἄνευ δὲ τούτου, κάκιστον.

Εὐλαβοῦ τὰς διαβολὰς, κἂν ψευδεῖς ὦσιν. οἱ γὰρ πολλοὶ, τὴν μὲν ἀλήθειαν, ἀγνοοῦσι· πρὸς δὲ τὴν δόξαν, ἀποβλέπουσιν.

Α' πάντα

Ἅπαντα δόκει ποιεῖν, ὡς μηδένα λήσων. κἂν γὰρ αὖ παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ.

Μάλιστα δ' αὖ δοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πεπαιδευμένος, ἃ τοῖς ἄλλοις αὖ πεπαιδευσι ἐπιμέλοιο.

Ἐὰν ἧς φιλομαθής, ἔσῃ πολυμαθής.

Ἃ μὲν ἐπίστασαι, ταῦτα φύλαττε τῇ μελέτῃ· ἃ δ' οὐ μὴ μεμάθηκας, ταῦτα λάμβανε τῇ ἐπιστήμῃ. ὁμοίως γὰρ αἰσχρὸν, ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαβεῖν.

Καταναλίσκε τὸν ἐν τῷ βίῳ χρόνον, εἰς τὸν τῶν λόγων φιλοσοφίαν. ἕτοιμα γὰρ τὰ τοῖς ἄλλοις καλεπῶς εὑρημένα, συμβήσεταί σοι ῥᾳδίως μανθάνειν.

Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ, πολλῶν εἶναι χρημάτων κρείττω. τὰ μὲν γὰρ, ταχέως ἀπολείπει· τὰ δὲ, πάντα τὸν χρόνον παραμένει. σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον.

Μὴ κατέχου μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τὸν διδάσκαλόν τι χρήσιμον ἐπαγγελλόμενον. αἰσχρὸν γὰρ, τοὺς μὲν ἐμπόρους τηλικαύτας πελάγη διαπερᾶν, ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν· τοὺς δὲ νεωτέρους, μηδὲ τὰς ἐγγὺς πορείας ὑπομένειν, ἀπὸ τοῦ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν.

Τῷ μὲν τρόπῳ γίνου φιλοπόνος· τῷ δὲ λόγῳ, δύσπονος. ἔστι δὲ, φιλοπονίας μὲν, τὸ πρόσφωνεῖν τοῖς ἀπαντῶσιν· δυσπονίας δὲ, τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν.

Ἡδέως μὲν ἔχε, πρὸς ἅπαντας· χρῶ δὲ, τοῖς βελτίοσι. οὕτω γὰρ, ἴσως μὲν, οὐκ ἀπεχθὴς ἔσῃ· τοῖς δὲ, φίλος γνήσιος.

Τὰς ἐντεύξεις μὴ πυκνὰς ποιοῦ τοῖς αὐτοῖς, μηδὲ μακρὰς, περὶ τῶν αὐτῶν. πλησμονὴ γὰρ ἁπάντων.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

Γύμναζε σεαυτὸν πόνοις ἐκουσίοις, ὅπως αὐ δυώμαιο, καὶ τὰς ἀκουσίας ὑποφέρειν.

Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν, αἰσχρὸν, τούτων ἐγκρατῆ σαυτὸν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. ἔστι γὰρ τοιοῦτον, ἐὰν κέρδη μὲν εἶναι νομίσῃ, δι' ὧν δόξομεν ἀδικεῖσθαι· ἀλλὰ μὴ δι' ὧν ἀπορήσομεν. τῇ δ' ὀργῇ, πολλῷ σωφρονέστερος ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ αὐ πρὸς σαυτὸν ἁμαρτάνοντα, καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσῃς. ἐν δὲ τοῖς τερπνοῖς, ἐὰν αἰσχρὸν ὑπολάβῃς, τὴν μὲν οἰκετῶν, ἄρχειν· τῆς δ' ἡδονῆς, δουλεύειν. ἐν δὲ τοῖς λυπηροῖς, ἐὰν τὰς τῶν ἄλλων ἀτυχίας ὑπερβλέπῃς, καὶ σεαυτὸν ὡς ἀνθρωπον ὄντα μιμνήσκῃς.

Μᾶλλον τίμα τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων ὑπεροχὰς. δεῖ γὰρ τοὺς ἀγαθοὺς ἀνδρας τρόπον ἄρχειν πατέρων φαίνεσθαι παρεχομένους.

Προσέχειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν.

Περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε, πολλοὺς ἐὰν ὁμοίως συμφέρῃ τοῖς πράξεις σωπᾶσθαι, σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούσασιν.

Ὅρκον ἐπακτὸν προσδέχου, μᾶλλον δὲ προφάσεις, ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ κινδύνων διασώζων· ἕνεκα δὲ χρημάτων, μηδένα θεὸν ὀμόσῃς, μηδ' αὖ ὀμόσαι μέλλῃς. δόξεις γὰρ, τοῖς μὲν, ἐπιορκεῖν· τοῖς δὲ, φιλοχρημάτως ἔχειν.

Μηδένα φίλον ποιοῦ, πρὶν αὐ ἐξετάσῃς πῶς ἔχει τοῖς προτέροις φίλοις. ἔλπιζε γὰρ αὐτὸν, καὶ τοιοῦτόν τε γνώσεσθαι τοιοῦτον, οἷον καὶ τοὺς ἐκείνους γενέσθαι.

Βραδέως μὲν φίλον γίνου, γενόμενον δὲ πρᾶον διαμένου· ὁμοίως γὰρ αἰσχρὸν, μηδένα φίλον ἔχειν, ἢ πολλοὺς ἐπαύρους μεταλλάττειν.

Μήτε

Μήτε μῆ βλάβης πρῶ τ̃ φίλων, μήτε ἄπρ@ εἶναι τῶν ἑτέρων θέλε. τ̃ δὲ ποιήσῃς, αὖ μὴ δεύμ@ τὸ δεῖσθαι προσοιῇ.

Περὶ τῶν ῥητῶν, ὡς ἀπορρήτων, αἰνιττόμε. μὴ τυχῶν μὲν γὰρ, ἀθλεν βλαβήσῃ· τυχὼν δὲ, μᾶλλον τὸν τρόπον αὐτῶν ἀπιστήσῃ.

Δοκίμαζε σ̃ φίλος, ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας. τὸ μὲν γὰρ χρυσίον, ἐν τῷ πυρὶ δοκιμάζομ@· σ̃ δὲ φίλος, ἐν τῇς ἀτυχίαις διαγινώσκομ@. ἕτω δ' αὖ ἄρισα χρῆσῃ τοῖς φίλοις, αὖ μὴ προσιμένης τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτ@ ἐν τοῖς κατρείς αὐτοῖς βοηθῇς.

Ὁμοίως αἰσχρὸν νόμιζε, τ̃ ἐχθρῶν νικᾶσθαι τῇς κακοποιΐαις, ἢ τῶν φίλων ἡττᾶσθαι τῇς ἀνεργεσίαις.

Ἀποδέχε τ̃ ἑτέρων, μὴ μόνον σ̃ ἐπὶ κακοῖς δυσχεραίνοντας, ἀλλὰ ἢ τὲς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας. πολλοὶ μὲν γὰρ ἀτυχοῦσι τοῖς φίλοις συμπάσχοντες, καλῶς ἢ πράττουσι, φθονοῦσι.

Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τὲς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν.

Εἶναι βούλε τὸ πρὸ τ̃ ἑαυτῆ φιλόκαλ@, ἀλλὰ μὴ καλλωπιστής. ἔστι γὰρ, φιλοκάλε μὲν τὸ μεγαλοπρεπές· καλλωπιστοῦ δ', τὸ περίεργον.

Ἀγάπα τ̃ ὑπαρχόντων ἀγαθῶν, μὴ τὸ ὑπερβάλλοντων κτῆσιν, ἀλλὰ τὸ μετρίαν ἀπόλαυσιν.

Καταφρόνει τ̃ πρὸ τ̃ πλοῦτον ἀσεβαζόντων, χρήσῃ δ' τοῖς ὑπάρχουσι μὴ δυναμένων. ἀβδαπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ αὖ εἴ τις ἵππον κτήσαιτο καλὸν, κακῶς ἱππεύειν ἀπειρόμ@.

Πειρῶ

Πφρῶ τὸν πλῆτον, χρήματα ϗ κτήματα καταστρώ-
ζφν. ἔστι ϗ χρήματα μὴ, τοῖς ἀπολαύειν ὑπηρμένοις·
κτήματα δὲ, τοῖς χρῆσθαι δυναμένοις.

Τίμα τὴν ὑπαρχοσαν οὐσίαν, δυοῖν ἕνεκα, ϗ τε
ζημίαν μεγάλην ἐκλίσαι, ϗ τῷ φίλῳ σπουδαίῳ δυσ-
χοῦντι βοηθῆσαι· πρὸς δὲ τὸν ἄλλον βίον, μηδὲν ὑπερ-
βαλλόντως, ἀλλὰ μετρίως αὐτὴν ἀγάπα.

Στέργε μὴ, τὰ παρόντα· ζήτει δὲ, τὰ βέλτιω.

Μηδενὶ συμφορᾶν ἀνφδίσης. κοινὴ γὰρ ἡ τύχη, ϗ
τὸ μέλλον ἀόρατον.

Τοὺς ἀγαθοὺς εὖ ποίει. καλὸς γὰρ θησαυρὸς ϗ
ἀνδρὶ σπουδαίῳ χάρις ὀφλομένη.

Κακοὺς εὖ ποιῶν, ὁμοια πάσχει τοῖς τὰς ἀλλοτρίας
κώας σιλίζουσιν. ἐκεῖναί τε γὰρ τοὺς διδόντας, ὥσπερ
τοὺς τυχόντας, ὑλακτοῦσιν· οἵ τε κακοὶ, τοὺς ὠφελοῦν-
τας, ὥσπερ τοὺς βλάπτοντας, ἀδικοῦσι.

Μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας·
ἀμφότεροι γὰρ πρὸς ἡδονὴν, τοὺς πρὸς ὄφλους ἀδικοῦσιν.

Ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότα-
τον σοι χειρίζομένους, ἀχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ
βέλτιστον ἀπεχθανομένους.

Γίνου πρὸς τοὺς πολιτεύοντας ὁμιλητικὸς, ἀλλὰ μὴ
σεμνός· τὸν μὲν γὰρ τῦ ὑπερηφάνων ὄγκον, μόλις ἂν οἱ
θεοὶ καρτερήσαιεν· τὸν δὲ τῶν ὁμιλητικῶν τρόπον, ἅ-
παντες ἡδέως ὑποφέρουσιν. ὁμιλητικὸς δὲ ἔσῃ, μὴ
δύσερις ὢν, μηδὲ δυσάρεστος, μηδὲ πρὸς πάν-
τα φιλόνεικος, μηδὲ πρὸς τοὺς τῶν πολιτευόντων
ὀργὰς τραχέως ἀπαντῶν, μηδ' ἂν ἀδίκως ὀργιζόμενος
τυγχάνωσιν· ἀλλὰ, θυμουμένοις μὲν αὐτοῖς εἴκων, πε-
παυμένοις δὲ τῆς ὀργῆς ὑπομιμνήσκων· μηδὲ πρὶν τὰ γε-

λοῖα

λοῖα ωγδάζων, μηδὲ ωεὶ τὰ ωγδαῖα τοῖς γελοίοις χαίρων· τὸ γὰρ ἄκαιρον πανταχῆ λυπηρόν· μηδὲ τὰς χάριτας ἀχαρίτως χαριζόμω@, ὅπερ πάσχουσιν οἱ πολλοὶ, ποιοῦντες μὲν, ἀηδῶς δὲ τοῖς φίλοις ὑωεργοῦντες· μηδὲ φιλαίτι@ ὤν, βαρὺ γὰρ· μηδὲ φιλεπίμηπης, παροξυντικὸν γάρ.

Μάλιςα μὲν ἁλαβοῦ τὰς ἐν τοῖς πόροις ζωγρίας· αἰ δὲ ποτέ σοι συμπέσοι καιρὸς, ἐξανίσασο ωεὸς μέθης. ὅταν γὰρ ὁ νοῦς ὑωὸ οἴνου διαφθαρῇ, πάντα πάσχει τοῖς ἅρμασι τοῖς σοῦ ἡνιόχους ἀποβάλλουσιν. ἐκεῖνά τε γὰρ ἀτάκτως φέρει διαμαρτάνοντα τοῦ σύνοντος· ἥτε ψυχὴ πολλὰ σφάλλει διαφθαρεῖσα τὴν διάνοιαν.

Ἀθάνατα μὲν φρόνει, τῷ μεγαλόψυχο@ εἶναι· θνητὰ δὲ, τῷ συμμέτρως τῶν ὑωαρχόντων ἀπολαύειν.

Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ, τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πεάπτουσιν· αὕτη δὲ μόνη κὴ ωεοσεζημίωσε τοὺς ἔχοντας. πολλάκις γὰρ ὃν τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν ὠμωρίαν ἔδωσαν.

Οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε ωεὶ αὐτῶν ωεὸς τοὺς ἀπαγγέλλοντας. ἀρχὴ γὰρ, φιλίας μὲν ἔπαινο@· ἔχθρας δὲ, ψόγο@.

Βουλεύόμω@, ωαραδείγματα ποιοῦ τὰ παρελθόντα τῶν μελλόντων. τὸ γὰρ ἀφανὲς, ἐκ τοῦ φανεροῦ ταχέως ἔξει τὴν διάγνωσιν.

Βούλου μὲν, βεβαίως· ὀπίτελει δὲ, ταχέως τὸ δόξαντα.

Ἡγοῦ κρεῖττον εἶναι, ωαρὰ μὲν θεοῦ, δυτυχίαν· ωαρὰ δὲ ἡμῶν αὐτῶν, δουλίαν.

Περὶ ὧν ἂν αἰσχύνῃ παῤῥησιάσασθαι, βούλου δὲ μὴ ποιεῖν τῶν

τῶν φίλων ἀναπεινώσασθαι, χρῶ τοῖς λόγοις, ὡς περὶ ἀλλοτρίας τοῦ πράγματος. ὅτω γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσῃ, καὶ σεαυτὸν ἀποφανῇ ποιήσας. ὅταν δ' ὑπὲρ τ' σεαυτῶν μέλλῃς τινὶ συμβουλεύεσθαι, σκόπει πρότερον, πῶς ὑπὲρ τῶν ἑαυτοῦ διώκησεν. ὁ γὰρ κακῶς διανοηθεὶς ὑπὲρ τῶν ἰδίων, ἀδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. ὅτω δ' αὖ μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψειας. καὶ γὰρ τῆς ὑγείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τ' ἀῤῥωστίας ἀναμνησθῶμεν.

Μιμοῦ τὰ τ' βασιλέως ἤθη, καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα. δόξεις γὰρ αὐτὸς ἀποδέχεσθαι καὶ ζηλοῦν· ὥστέ σοι συμβήσεται, πρός τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ πρὸς ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν.

Πείθου μὲν καὶ τοῖς νόμοις, τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις· ἰσχυροτέρους μέν τοι νόμους ἡγοῦ, τῶν ἐκείνων τρόπον. ὥσπερ γὰρ τ' ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν, ὅτω καὶ τὸν ἐν μοναρχίᾳ καταικοῦντα, τὸν βασιλέα προσήκει θαυμάζειν.

Εἰς δεχομένους καταστάθεις, μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις. ὧν γὰρ αὐ ἐκεῖνος ἁμάρτοι, σοὶ τὰς αἰτίας ἀναθήσουσιν.

Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων κρείττων ὁ πρὸς τοῦ πλήθους ἔπαινος.

Μηδενὶ πονηρῷ πράγματι, μήτε παράσχῃς, μήτε συνηγόρευε. δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷα περ αὖ ἄλλοις πράττουσι βοηθῇς.

Παρασκεύαζε σεαυτὸν, πλεονεκτεῖν μὲν δυνάμενον, αὐτὲ-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

ἀνέχε ἢ τὸ ἴσον ἔχειν, ἵνα δοκῇς ἐρέγεσθαι τῆς δικαιοσύνης, μὴ δι' ἀσθένειαν, ἀλλὰ προαιρέσεως.

Μᾶλλον ἀποδέχε δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον. τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ, τὰ μὲν, ζῶντας μόνους ὠφελεῖ· ἡ δὲ, καὶ τελευτήσασι δόξαν ἀθάνατον παρασκευάζει. καὶ ἐκείνων μὲν, τοῖς φαύλοις μέτεστι· ταύτης δὲ, τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν.

Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μὴ δικαιοσύνης ζημιωθέντας. οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' ὅν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι.

Πάντων μὲν ἐπιμελοῦ τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει. μέγιστον γὰρ ἐν ἐλαχίστῳ, νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι.

Πειρῶ, τὸ μὲν σῶμα, εἶναι φιλόπονον· τὴν δὲ ψυχὴν, φιλόσοφον. ἵνα, τῷ μὲν, ἐπιτελεῖν δυνῇ τὰ δόξαντα· τῇ δὲ, θεωρεῖν ἐπίσῃ τὰ συμφέροντα.

Παῦε, τι αὐ μέλλῃς λέγειν, σκέψαι πρότερον ἐπισκοπῇ τῇ γνώμῃ. πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας.

Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον. ὅτῳ γὰρ, ὅτ' εὐτυχῶν ἔσῃ θαρραλέος, ὅτε δυστυχῶν δείλυπος.

Δύο ποιοῦ καιρὼ σὲ λέγειν, ἢ σοὶ ὧν οἶδα σαφῶς, ἢ σοὶ ὧν ἀναγκαίων εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις, ὁ λόγος, τῆς σιγῆς κρείττων· ἐν δὲ τοῖς ἄλλοις, ἄμεινον σιγᾶν ἢ λέγειν.

Χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μετρίως ἐπὶ τοῖς συμφοραῖς τῶν κακῶν. γίνου δὲ τοῖς ἄλλοις, ἐν μηδετέροις ὢν καταφανής. ἄριστον γὰρ, τὴν μὲν ὑσίαν, ἐν ταῖς οἰκίαις ἀποκρύπτειν· τὴν δὲ ἀφροσύνην, φανερὰν ἔχοντα, θεραπεύειν.

Μᾶλ-

Μᾶλλον δ' λαβε῀ φόβον, ἢ κίνδυνον. δεῖ γὰρ εἶναι φοβερὰν, τοῖς μὲν φαύλοις, τὴν ἐκ βίᾳ τελευτήν· τοῖς δ' ἀγαθοῖς, τὴν ἐν τῷ ζῆν ἀδοξίαν.

Μάλιστα μὲν πρῶτον ζηλῶ κ᾽ τὴν ἀσφάλειαν. ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τῶν πολέμων σωτηρίαν, μὴ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης. τὸ μὲν γὰρ τελευτῆσαι, πάντων ἡ πεπρωμένη κατέκρινε· τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς ἀγαθοῖς ἡ φύσις ἀπένειμε.

Καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν εἰρημένων ἐπέπληξά σοι πρὸς τὴν νῦν παρεῦσαν ἡλικίαν. ἐβουλόμην γὰρ ἐμὲ τοῦτο διελαθεν· ἀλλὰ προφθάνω διὰ τὴν αὐτῆς πραγματείας, ἅμα τοῦτε παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν, κ᾽ τὸ μέλλοντος χρόνου προαγγελμα καταλιπεῖν. τὴν μὲν γὰρ τούτων χρείαν, ῥᾳδίως εἰδήσῃς· τὸν δὲ συμβουλεύοντα, μετ' εὐνοίας, χαλεπῶς εὑρήσῃς. ὅπως δ' ἂν τἀλλοτριὰ μὴ παρ' ἑτέρου ζητῇς, ἀλλ' ἐντεῦθεν ὥσπερ ἐκ ταμείου προφέρῃς, ὡήθην δεῖν μηδὲν προαλιωτεῖν, ὧν αὖ ἔχω σοι συμβουλεύειν· πολλὰ δ' αὖ τῷ θεῷ χάριν ἔχοιμι, εἰ μὴ διαμάρτοιμι τῆς δόξης, ἣν ἔχων περὶ σοῦ τυγχάνω. τῶν μὲν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν, ὥσπερ τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον ἢ τοῖς ὑγιεινοτάτοις, χαίροντας· ὅτῳ κ᾽ τῶν φίλων, τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ' οὐ τοῖς νουθετοῦσι. σὲ δὲ νομίζω τἀναντίον τούτων ἐγνωκέναι. τεκμηρίῳ χρώμενος τῇ περὶ τὸν ἄλλον σου παιδείαν φιλοπονίᾳ. τὸν γὰρ αὐτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς, κ᾽ τῶν ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν προκαλοῦντας ἀποδέχεσθαι.

Μάλιστα δ' αὖ παροξυνθείης ἐρεχθεῖσαν τῶν καλῶν

λῶν ἔργων, εἰ καταμάθοις, ὅτι τὰς ἡδονὰς, ταῖς ἐκ τούτων μάλιστα γνησίως ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥαθυμεῖν, τὰς πολυτελεῖς ἀγαπᾶν, ἀθυμοῦσι δὲ λύπαις τῆς ἡδονῆς ἐναπεπήγασι. τὸ δὲ πρὸς τὴν ἀρετὴν φιλοπονεῖν, καὶ σωφρόνως τὸν ἑαυτοῦ βίον οἰκονομεῖν, ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς, καὶ βεβαιοτέρας ἀποδίδωσι. κἀκεῖ μὲν, πρὶν πονῆσαι τοὺς ἡδομένους, ὕστερον ἐλυπήθημεν· ἐνταῦθα δὲ, μετὰ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν.

Ἐν ἅπασι δὲ τοῖς ἔργοις, οὐχ ὅτω τὴν ἀρχὴν μνημονεύομεν, ὡς τῆς τελευτῆς αἰσθησιν λαμβάνομεν. τὰ γὰρ πολλὰ τῶν πρὸς τὸν βίον, οὐ δι' αὐτὰ τὰ πράγματα ποιούμεθα, ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκα διαπονούμεθα. ἐνθυμοῦ δὲ καὶ διότι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τύχοντα πράττειν· ἀθυμοῦσι γὰρ τοῦ βίου ταύτῃ πεποίωνται τὴν ὑποθεσιν. τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλὰς ἔχειν συμπεπλεγμένους. πάντες γὰρ μισοῦσιν, οὐχ ὅτω συναμαρτάνοντας, ὡς συμπονηροὺς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας. εἰκότως. ὅπου γὰρ συμβαίνει τῷ λόγῳ μόνῳ ψευδομένους ἀποδοκιμάζομεν, ἢ πῶς τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους, οὐ φαύλους εἶναι φήσομεν. δικαίως δ' ἂν συμπεριλαβοιμεν. μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας. ἡ μὲν γὰρ, αὐτοῖς χρήματα, καὶ δόξαν, καὶ φίλους ἐνεχείρησεν. οἱ δὲ, σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν.

Εἰ δὲ δεῖ θνητὸν ὄντα τῆς τῶν θεῶν σχολάσαντα διανοίας, ἡγεμόνα κἀκείνους ὑπὸ τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι, πῶς ἔχουσι πρὸς τοὺς φαύλους, καὶ

τὰς ἀνδρίας τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ἡρακλέα, καὶ Τάνταλον γεγένηται, ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες πιστεύουσι, τὸν μὲν, διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε· τὸν δὲ, διὰ τὴν κακίαν τῆς μεγίστης τιμωρίας ἐκόλασεν. οἷς χρὴ παράδειγμα ποιεῖσθαι χρωμένους, ὁρέγεσθαι τῆς καλοκαγαθίας· καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγινώσκειν. ὥσπερ γὰρ τὴν μέλιτταν ἐρῶμεν ἐφ' ἅπασι μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν· οὕτω χρὴ καὶ τὰς παιδείας ὁρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν· μόλις γὰρ ἄν τις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

ΙΣΟΚΡΑΤΟΥΣ

ΛΟΓΟΣ

ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ,

ἢ περὶ Βασιλείας.

Οἱ μὲν εἰωθότες, ὦ Νικόκλεις, ὑμῖν τοῖς Βασιλεῦσιν ἐπιτήδειον ἄγειν, ἢ χαλκὸν, ἢ χρυσὸν εἰργασμένον, ἢ ἄλλό τι τῶν τοιούτων χρημάτων, ὧν αὐτοὶ μὲν ἐνδεεῖς εἰσιν, ὑμεῖς δὲ πλουτεῖτε, λίαν ἔδοξαν εἶναί μοι καταφανεῖς, ἃ δόσιν, ἀλλ' ἐμπορίαν ποιούμενοι, καὶ πολὺ τεχνικώτερον αὐτὰ πωλοῦντες τῶν ὁμο-

ὁμολογούντων κἀπηλθεῖν. ἐγὼ δὲ ἡσυχάζω αὖ ταύτῃ καλλίστῃ ψυχῆς δωρεᾷ, καὶ χρησιμωτάτῃ, καὶ μάλιστα πέπεισμαι ἐμοί τε δᾶνα, καὶ σοὶ λαβεῖν, εἰ δυνηθείην ὀρθῶς, ποίων ἐπιτηδευμάτων ὀρεγόμενόν με, καὶ τίνων ἔργων ἀπεχόμενόν με, ἄριστ' ἂν καὶ τὴν πόλιν, καὶ τὴν βασιλείαν διοικοίης. τοὺς μὲν γὰρ ἰδιώτας ἔστι πολλὰ τὰ παιδεύοντα, καὶ μάλιστα μὲν τὸ μὴ τυφᾶν, ἀλλ' ἀναγκάζειν ἀεὶ τὸν βίον καθ' ἑκάστην ἀγωνίζεσθαι τὴν ἡμέραν· ἔπειθ' οἱ νόμοι, καθ' ὃς ἕκαστος πολιτεύεται τυγχάνει· ἔπι δὲ ἡ παῤῥησία καὶ τὸ φανερῶς ἐξεῖναι τοῖς τε φίλοις ἐπιτρέπειν, καὶ τοῖς ἐχθροῖς ἐπιτίθεσθαι ἀλλήλων ἁμαρτίαις. ἀεὶ δ' ἔστιν, οἳ τῶν ποιητῶν τὰ ἀρχαίως εἰρημένα ἐπιτηδεύουσιν, ὡς χρὴ ζῆν, καταλείπουσιν· ὡς ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίνεσθαι. τοῖς δὲ τυράννοις οὐδὲν ἐπιτήδευμα τοιοῦτον, ἀλλ' ὡς μάλιστα ἔδει τῶν ἄλλων παιδεύεσθαι. ἐπεὰν εἰς τὴν ἀρχὴν καταστῶσιν, αὐθαίρετοι διαφθείρουσιν. οἱ μὲν γὰρ φαῦλοι τῶν ἀνθρώπων αὐτοῖς ἀπειλοῦσιν· οἱ δὲ σώζοντες, ὡς χάριν ὁμολογοῦσιν· καὶ γάρ τι κύριοι φόβου καὶ χρημάτων πλείστων, καὶ πραγμάτων μεγίστων, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταύτῃ τῇ ἀφορμῇ, πεποιήκασιν. ὥστε πολλὰς ἀμφισβητεῖν, πότερόν ἐστιν ἄξιον ἐλέσθαι τὸν βίον, τὸν τῶν ἰδιωτεύοντων μὲν, ἀπείρως δὲ πραττόντων, ἢ τὸν τῶν τυραννευόντων. ὅταν μὲν γὰρ ἀποβλέψωσιν εἰς τὰς ἁμαρτίας, καὶ τὰς πλάτας, καὶ τὰς δυναστείας, ἰσοθέους ἅπαντας νομίζουσι τοὺς ἐν ταῖς μοναρχίαις ὄντας. ἐπεὰν δὲ ἐνθυμηθῶσι τοὺς φόβους, καὶ τοὺς κινδύνους, καὶ διεξιόντες ἄρωσι, τοὺς μὲν ὑφ' ὧν ἥκιστα ἐχρῆν διεφθαρμένους, τοὺς δὲ εἰς τοὺς οἰκειοτάτους ἐξαμαρτεῖν ἠναγκασμένους·

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

τοῖς ἢ ἀμφότερα ταῦτα συμβεβηκότα, πάλιν ὁπωσοῦν ζῆν ἡγοῦνται λυσιτελεῖν μᾶλλον, ἢ μὴ τοιούτων ζυμφορῶν ἀπάσης τῆς Ἀσίας βασιλεύειν. ταύτης ἢ τῆς ἀνωμαλίας, καὶ τῆς παραχῆς αἴτιόν ἐστιν, ὅτι τὴν βασιλείαν ὥσπερ ἱερωσύνην, παντὸς ἀνδρὸς εἶναι νομίζουσιν, οὐ τῶν ἀνθρωπίνων πραγμάτων μέγιστόν ἐστι, καὶ πλείονος σοφίας δεόμενον. καθ' ἑκάστην μὲν οὖν πρᾶξιν, ἐξ ὧν ἄν τις μάλιστα δύναιτο κρίνειν τρόπον διοικεῖν, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττειν, τὰς δὲ ζυμφορὰς διαφεύγειν, τῶν ἀεὶ παρόντων ἔργον ἐστὶ συμβουλεύειν. καθόλου δὲ τῶν ἐπιτηδευμάτων, ὧν χρὴ ἐχομένους, καὶ σοῦ ἀεὶ δεῖ διατρίβειν, ἐγὼ πειράσομαι διελθεῖν. Εἰ μὲν οὖν ἔστιν τὸ δοῦναι ἐξεργασθὲν ἄξιον τῆς ὑποθέσεως, χαλεπὸν ἀπὸ τῆς ἀρχῆς συνιδεῖν. πολλὰ γὰρ καὶ τῶν ἐμμετρῶν ποιημάτων, καὶ τῶν καταλογάδην συγγραμμάτων, ἐπὶ μὲν τῇ διανοίᾳ ὄντα τῶν συνιθέντων, μεγάλας τὰς εὐδοκίας παρέσχεν. ἐπιτελεσθέντα δὲ, καὶ τοῖς ἄλλοις ὑποδειχθέντα, πολὺ καταδεεστέραν τὴν δόξαν τῆς ἐλπίδος ἔλαβεν. ἃ μὲν οὖν ἄλλα καὶ τοῦτ' ἐγχείρημα καλῶς ἔχει, τὸ ζητεῖν τὰ συμφέροντα, καὶ νομοθετεῖν τοῖς μοναρχίαις. οἱ μὲν γὰρ τὰς ἰδιώτας παιδεύοντες, ἐκείνους μόνους ὠφελοῦσιν· εἰ δέ τις σοῦ κρατοῦντας τοῦ πλήθους ἀρετὴν εὐτρέψειεν, ἀμφοτέρους ἂν ὠφελήσειε, καὶ τοὺς τὰς δυναστείας ἔχοντας, καὶ τοὺς ὑπ' αὐτοῖς ὄντας. τοῖς μὲν γὰρ ἂν τὰς ἀρχὰς ἀσφαλεστέρας, τοῖς δὲ τὰς πολιτείας πρᾳοτέρας ποιήσειεν.

I Πρῶτον μὲν οὖν σκεπτέον, τί τῶν βασιλευόντων ἔργον ἐστίν. ἐὰν γὰρ τὸ κεφάλαιον καὶ τὴν δύναμιν ὅλου τοῦ πράγματος καλῶς διέλωμεν, ἐνταῦθα ἀποβλέποντες, ἅμεινον καὶ μᾶλλον τῶν

ἄλλων

ἄλλων μερῶν ἐρῶμεν. Οἶμαι δὴ πάντας αὖ ὁμολογῆσαι, προσήκειν αὐτοῖς, πόλιν τε δυσυχοῦσαν παῦσαι, καὶ καλῶς πράττουσαν διαφυλάξαι, καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι. τὰ γὰρ ἄλλα τὰ καθ' ἑκάστην ἡμέραν συμπίπτοντα, τούτων ἕνεκα πρακτέον ἐστί. Καὶ μὴν ἐκεῖνό γε φανερόν, ὅτι δεῖ τὸν ταῦτα διωκησόμενον, καὶ προῖστάμενον τούτων βουλευσόμενον, μὴ ῥᾳθυμεῖν, ἀλλὰ σκοπεῖν ὅπως φρονιμώτερον διακείσονται τῶν ἄλλων. δέδοκται γὰρ ὅτι τοιαύτας ἕξουσι τὰς βασιλείας, οἵας περ ἂν τὰς αὑτῶν γνώμας παιδεύσωσιν. ὥστε ὅδενι τῶν ἀθλητῶν ἄτοπον προσήκει τὸ σῶμα γυμνάζειν, ὡς τοῖς βασιλεῦσι τὴν ψυχὴν τὴν ἑαυτῶν. ἅπαντα γὰρ αἱ παννυχίδες ὅδε μέρος πλεῖστον τῶν ἄθλων, ὑπὲρ ὧν ὑμεῖς καθ' ἑκάστην ἀγωνίζεσθε τὴν ἡμέραν, ὧν ἐνδυομένων χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσον περ τῆς τιμῆς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ τῆς ἀρετῆς αὐτῶν διοίσεις. καὶ μὴ νόμιζε τὴν ἐπιμέλειαν, ἐν μὲν τοῖς ἄλλοις πράγμασι χρησίμην εἶναι, πρὸς δὲ τὸ βελτίους ἡμᾶς, καὶ φρονιμωτέρους γίνεσθαι, μηδεμίαν ἔχειν δύναμιν. μηδὲ καταγνῶς τῶν ἀνθρώπων τοσαύτην δυσχέραν, ὡς πρὸς μὲν τὰ θηρία τέχνας ἐξεύρηκαμεν, αἷς αὐτῶν τὰς ψυχὰς ἡμεροῦμεν, καὶ πολλοῦ καὶ ἀξίας ποιούμεθα. ἡμᾶς δ' αὐτοὺς οὐδεὶς ἂν πρὸς ἀρετὴν ὠφελήσαι μεθ. ἄλλως τε καὶ τῆς παιδεύσεως καὶ τῆς ἐπιμελείας μάλιστα δυναμένης τὴν ἡμετέραν ψυχὴν ἐξεργετεῖν. Οὕτω διάκεισο τὴν γνώμην, καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε, καὶ τῶν ἄλλων ὅς ἂν δύνῃ, μεταπέμπου. Καὶ μήτε τῶν ποιητῶν τῶν ἀδοκιμάντων, μήτε τῶν σοφιστῶν μηδενὸς οἷόν δεῖν ἀπείρως ἔχειν· ἀλλὰ τῶν μὲν, ἀκροατὴς γίνου· τῶν δὲ, μαθητής. Καὶ παρα-

ρασκάζε σαὐτὸν τῶν μὴ ἐλασσόνων κρατῆν, τῶν δὲ μᾶζόνων ἀνταγωνιεῖσθαι. Διὰ γὰρ τάτων τῶν γυμνασίων τάχις' ἂν γνοίοι τις ὅτ@, οἷον ὑπεσχέμεθα δεῖν εἶναι τ' ὀρθῶς βασιλεύσονσα, καὶ τὴν πόλιν ὡς χρὴ διοικήσονσα. Μάλισα δ' ἂν αὐτὸς ὑπὸ σαυτῆ ὢν δοκιμασθείης, εἰ δεινὸν ἡγήσαιο τὰς χείρας τῶν βελτίονων ἄρχειν, καὶ τὰς ἀνοητοτέρας τοῖς φρονιμωτέροις ὑποτάτειν. ὥσῳ γὰρ ἂν ἐρρωμενεστέρως τὴν τῶν ἄλλων ἄνοιαν, ἀπιμάσης, τοσάτῳ μᾶλλον τὴν σαυτοῦ διάνοιαν ἀσκήσεις.

2. Ἀρχεαὶ μὲν ἂν ἐντεῦθεν χρὴ τὰς μέλλοντάς τε ποιήσειν τ' δεόντων. Πρὸς δὲ τάτοις, φιλάνθρωπον εἶναι δεῖ & φιλόπολιν. ἅτε γὰρ ἵππων, ἅτε κυνῶν, ἅτε ἀνδρῶν, ἅτε ἄλλω πράγματ@ ἀδένος οἷόν τε καλῶς ἄρχειν, ᾧ μή τις χαίρῃ τάτοις, ὧν αὐτὸν δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν.

Μελέτω σοι δ' ὡλήθως, & ὡς ἐπὶ παντὸς ποιῆ κεχαρισμένως αὐτοῖς ἄρχειν, γινώσκων ὅτι τῶν ὀλιγαρχιῶν, & τ' ἄλλων πολιτειῶν αὗτη πλεῖσον χρόνον διαμένει, αἵ τινες ἂν ἄρισα τὸ πλῆθος θεραπεύσωσι.

Καλῶς δὲ δημαγωγήσεις, ἐὰν μήτε τὸν ὄχλον ὑβρίζειν ἐᾷς, μήτε ὑβριζόμενον ὑπορᾷς· ἀλλὰ σκοπῆς, ὅπως οἱ βέλτισοι μὲν τὰς τιμὰς ἕξουσιν, οἱ δ' ἄλλοι μηδὲν ἀδικηθήσονται. ταῦτα γὰρ στοιχεῖα πρῶτα καὶ μέγιστα χρησῆς πολιτείας ἐστί.

4. Τῶν πραγμάτων & τ' ἐπιτηδευμάτων κίνει καὶ μεταττῆ τὰ μὴ καλῶς καθεστῶτα. καὶ μάλισα μὲν εὑρετὴς γίνε τ' βελτίσων. εἰ δὲ μή, μιμοῦ τὰ καλὰ τοῖς ἄλλοις καλῶς ἔχονσα. Ζήτει νόμους τὸ μὲν σύμπαν δικαίους καὶ συμφέροντας, καὶ σφίζειν αὐτοῖς ὁμολογουμένους.

νας. πρὸς δὲ τούτοις, οἱ μὲν τὰς μὲν ἀμφισβητήσεις ὡς ἐλαχίστας, τὰς δὲ δίκας ὡς οἷόν τε τάχιστας τοῖς πολίταις ποιήσουσι. ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς κειμένοις νόμοις.

5 Τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας· τὰς δὲ πραγματείας, ζημίας· ἵνα τὰς μὲν φεύγωσι, πρὸς δὲ τὰς προθύμως ἔχωσι.

6 Τὰς κρίσεις ποιῶ, πρὸς ὧν αὐ πρὸς ἀλλήλους ἀμφισβητῶσι, μὴ πρὸς χάριν, μηδὲ συνηθείας ἀλλήλαις, ἀλλ' ἀεὶ ταὐτὰ, καὶ πρὸς τὸ αὐτῶν γίνωσκε. καὶ γὰρ πρέπει, καὶ συμφέρει, τὴν τῶν βασιλέων γνώμην ἀμεταχινήτως ἔχειν πρὸς τῶν δικαίων, ὥσπερ καὶ τὸν νόμους καλῶς κειμένους.

7 Διοίκει τὴν πόλιν ὁμοίως, ὥσπερ τὸ πατρῷον οἶκον, τὴν μὲν καταστάσεως, λαμπρῶς καὶ βασιλικῶς· τὴν δὲ πράξεσιν, ἀκριβῶς· ἵν' εὐδοκιμῇς ἅμα καὶ δαρκῇς.

8 Τὴν μεγαλοπρέπειαν ἐνδείκνυσο, ἐν μηδεμιᾷ τῶν πολυτελειῶν, τῶν δήθεν ἀφανιζομένων· ἀλλ' ἔν τε τοῖς περιειργασμένοις, καὶ τῷ κάλλει τῶν κτημάτων, καὶ τῶν φίλων εὐεργεσίαις. τὰ γὰρ τοιαῦτα τῶν ἀναλωμάτων οὐπω τέ σοι ὠφελημένα, καὶ τοῖς ἐπιγινομένοις πλέον ἄξια τῶν δεδαπανημένων καταλείψεις.

9 Τὰ πρὸς τοὺς θεοὺς ποίει μὲν ὡς οἱ πρόγονοι κατέδειξαν· ἡγοῦ δὲ τοῦτο εἶναι θῦμα κάλλιστον, καὶ θεραπείαν μεγίστην, ἐὰν ὡς βέλτιστον καὶ δικαιότατον σεαυτὸν παρέρχῃς. μᾶλλον γὰρ ἐλπὶς, τοὺς τοιούτους, ἢ σοὶ ἱερεῖα πολλὰ καταβάλλοντας, πράξειν τι ὠφελῆ τῶν θεῶν ἀγαθόν.

10 Τίμα μὲν ἀρίστους τῶν ἡμῶν, τοὺς οἰκειοτάτους· τοῖς δὲ ἀληθεστάτοις, τοὺς δικαιοτάτους.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

11 Φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι τήν τε τῶν φίλων ἀρετήν, καὶ τὴν τῶν πολιτῶν εὔνοιαν, καὶ τὴν σαυτοῦ φρόνησιν. διὰ γὰρ τούτων καὶ κτᾶσθαι, καὶ διασώζειν τὰς τυραννίδας μάλιστ' ἄν τις δύναιτο.

12 Κήδου τῶν οἴκων τῶν ἰδιωτῶν, καὶ νόμιζε τὰς δαπανωμένας, ἀπὸ τῶν σῶν ἀναλίσκειν· καὶ τὰς ἐργαζομένας, τὰ σὰ πλείω ποιεῖν. ἅπαντα γὰρ τὰ τῶν οἰκούντων τὴν πόλιν, οἰκεῖα τῶν καλῶς βασιλευόντων ἐστίν.

13 Διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν ἄκου φαίνου θεραπεύων, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους, ἢ τοὺς τῶν ἄλλων ὅρκους.

14 Ἅπασι μὲν τοῖς ξένοις ἀσφαλῆ τὴν πόλιν παρεχε, καὶ θεοὺς τοὺς συμβόλαια νόμιμον. θεοὶ πλείους ἢ ποιοῦ τῶν ἀφικνουμένων μηδὲν σοὶ δωρεὰς εἰσάγοντας, ἀλλὰ τοὺς αὐτὸς σὺ λαμβάνειν ἀξιοῦντας. τιμῶν γὰρ τοὺς τοιούτους, μᾶλλον αὐτὸς τοῖς ἄλλοις εὐδοκιμήσεις.

15 Τοὺς φόβους ἐξαιροῦ τῶν πολιτῶν, καὶ μὴ βούλου θεοειδὴς εἶναι τοῖς μηδὲν ἀδικοῦσιν. ὅπως γὰρ αὐτοὺς ἄλλους θεοὺς σεαυτὸν διαθῇς, οὕτω καὶ σὺ θεοὺς ἐκείνους ἕξεις.

Ποίει μὲν μηδὲν μετ' ὀργῆς. δόκει δὲ τοῖς ἄλλοις, ὅταν σοὶ καιρὸς ᾖ. δεινὸς μὲν φαίνου, τῷ μηδένα σε λανθάνειν τῶν γιγνομένων. πρᾶος δὲ, τῷ τὰς ἡμερίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων.

Ἀρχικὸς εἶναι βούλου, μὴ χαλεπότητι, μηδὲ τῷ σφόδρα κολάζειν· ἀλλὰ τῷ πάντας ἡπιῶσθαι τῆς σῆς διανοίας, καὶ νομίζειν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας ἄμεινόν σε βουλεύεσθαι.

16 Πολιμικὸς γίνου τῶν ὑπεναντίων, καὶ ταῖς παρασκευαῖς. εἰρηνικὸς δὲ, τῷ μηδὲν ἄδικον πολεμεῖν.

Οὕτως

Οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς ἡδονάς, ὥσπερ αὖ τὰς κρείττους πρὸς σεαυτὸν ἀξιώσας.

Φιλονείκει μὴ πρὸς ἅπαντων, ἀλλὰ πρὸς ὧν αὖ κρατήσαντί σοι μέλλῃ συμφέρειν.

Φαύλους ἡγοῦ μὴ τοὺς ζημιουμένους ἡδονῆς, ἀλλὰ τοὺς μὴ βλάβης φειδομένους.

17 Μεγαλόφρονας εἶναι νόμιζε, μὴ τοὺς μείζω φειδομένους, ὧν οἷοί τ' εἰσὶ καταφρονεῖν, ἀλλὰ τοὺς μετρίων μὲν ἐφιεμένους. ἐξεργάζεσθαι γὰρ δυναμένους, οἷς αὖ ἐπιχειρῶσι.

Ζήλου μὴ τοὺς μείζω ἔχειν κτησαμένους, ἀλλὰ τοὺς ἄρξαι τῆς παρούσης χρησαμένους. καὶ νόμιζε τελέως εὐδαιμονήσειν, οὐκ ἐὰν ἁπάντων ἀνθρώπων μὴ φόβων ἢ κινδύνων ἄρχῃς, ἀλλ' ἐὰν τοιοῦτος ὦν, οἷον χρή, καὶ πράττων ὥσπερ ἐν τῷ παρόντι, μετρίων ἐπιθυμῇς, καὶ μηδενὸς τούτων ἀπορῇς.

18 Φίλους κτῶ μὴ πάντας τοὺς θελομένους, ἀλλὰ τοὺς τῆς φύσεως ἀξίους ὄντας· μηδὲ μεθ' ὧν ἥδιστα συνδιατρίψῃς, ἀλλὰ μεθ' ὧν ἄριστα τὴν πόλιν διοικήσῃς.

Ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων· εἰδὼς ὅτι πάντες οἱ μὴ σοὶ συμφιλοσοφοῦντες, ὁμοίου σε τοῖς χρωμένοις νομιοῦσι.

19 Τοιούτους ἐφίεσο τοῖς πράγμασι τοῖς μὴ δοξαστοῖς γινομένοις, ὡς αὐτοὺς τὰς αἰτίας ἔξων, ὧν αὖ ἐκεῖνοι πράξωσι.

20 Πιστοὺς ἡγοῦ μὴ τοὺς πᾶν ὃ, τι αὖ λέγῃς ἢ ποιῇς ἐπαινοῦντας, ἀλλὰ τοὺς ἁμαρτανομένοις ἐπιμωμένους.

Δίδου παῤῥησίαν τοῖς σὺ φρονοῦσιν· ἵνα μὴ ὧν ἀμφιγνοῇς, ἔχῃς τοὺς συνδοκιμάσοντας.

Διόρα καὶ τὰς τέχνη κολακεύοντας, καὶ τὰς μετ' ὀλιγαρχίας θεραπεύοντας· ἵνα μὴ πολέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν.

21 Ἄκουε τὰς λόγους τὰς πρὸς ἀλλήλων, ἐπειρῶ γινώσκειν ἅμα τὰς λέγοντας, ὁποῖοί τινες εἰσὶν, καὶ πρὸς οὓς ἃ λέγωσι.

Ταῖς αὐταῖς κόλαζε ζημίαις τὰς ψευδῶς διαβάλλοντας, αἵπερ τὰς ἐξαμαρτάνοντας.

22 Ἄρχε σεαυτοῦ μηδὲν ἧττον, ἢ καὶ τῶν ἄλλων, καὶ τοῦτο ἡγοῦ βασιλικώτερον, ἐὰν μηδεμιᾶς δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον, ἢ τῶν πολιτῶν.

23 Μηδεμίαν συνουσίαν εἰκῇ προσδέχου, μηδ' ἀλογίστως· ἀλλὰ ἐπ' ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σεαυτὸν χαίρειν, ἐξ ὧν αὐτός τε ὠφεληθήσῃ, καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις.

24 Μὴ φαύλοις φιλοῦμένος ἐπὶ τοῖς πονηροῖς, ἃ καὶ τοῖς κακοῖς διαπέφευγεν ἔστιν· ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστι.

Νόμιζε τῶν ἡμῶν ἀληθεστάτας εἶναι, μὴ τὰς ἐν τῷ φανερῷ μὴ δέους γινομένας· ἀλλ' ὅταν αὐτὸς πρὸς αὑτοῦς ὦσιν, μᾶλλόν σου τὴν γνώμην, ἢ τὴν τύχην θαυμάζωσιν.

25 Λαίθανε μὲν, ἐὰν ἐπί τῳ σοι συμβῇ τῶν φαύλων χαίρειν· ἐνδείκνυσο δὲ μᾶλλον τὰ μέγιστα ἀσπαζόμενον.

Μὴ τοσοῦτον ἄλλους ἀξίου κοσμίως ζῆν, τοσοῦτον δὲ βασιλέα σαυτὸν σωφρονεῖν· ἀλλὰ τῷ σεαυτοῦ σώματι παράδειγμα τοῖς ἄλλοις καθίστη, γινώσκων, ὅτι τὸ τῆς πόλεως ὅλης ἦθος ὁμοιοῦται τοῖς ἄρχουσι.

26 Σημεῖον ἔσται σοι τοῦ καλῶς βασιλεύειν, ἐὰν τοὺς δεχομένους ὁρᾷς εὐπορωτέρους καὶ σωφρονεστέρους γιγνομένους διὰ τὴν σὴν ἐπιμέλειαν.

27 Περὶ

27 Περὶ πλείονος ποιοῦ, δόξαν καλὴν, ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν. ὁ μὲν γὰρ θνητὸς· ἡ δὲ, ἀθάνατος. καὶ δόξῃ μὲν, χρήματα κτῆσαι· δόξα δὲ, χρημάτων σὺν ὠνητή. καὶ τὰ μὲν, ἐς τοὺς φαύλους ἀναγίνεται· τὴν δὲ, οὐχ οἷόν τε, ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι.

28 Τρύφα μὲν τῇ ἐσθῆσι, καὶ τοῖς περὶ τὸ σῶμα κόσμοις· καρτέρει δὲ ὡς χρὴ τοὺς βασιλέας, ἐν τοῖς ἄλλοις ἁπλοῦν. ἵνα οἱ μὲν ὁρῶντες, διὰ τὸ ὄψιν ἄξιόν σε τῆς ἀρχῆς νομίζωσιν. οἱ δὲ σωόντες, διὰ τὴν τῆς ψυχῆς ῥώμην, τὴν αὐτὴν ἐκείνοις γνώμην ἔχωσιν.

29 Ἐπισκόπει τοὺς λόγους ἀεὶ τοὺς σαυτοῦ, καὶ τὰς πράξεις· ἵν' ὡς ἐλαχίστοις τοῖς ἁμαρτήμασι περιπίπτῃς.

30 Κρεῖττον μὲν τοῦ ἀκμῆς τοῦ καιρῶν τυγχάνειν. ἐπεὶ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπειν αἱροῦ, καὶ μὴ πλεονάζειν. αἱ γὰρ μετριότητες, μᾶλλον ἐν ταῖς ἐνδείαις, ἢ ταῖς ὑπερβολαῖς ἰσχύουσιν.

31 Ἀσεῖς εἶναι πρὸς, ὁ σεμνός. τὸ μὲν γὰρ, τυραννίδι πρέπει· τὸ δὲ, πρὸς τὰς σωφροσύνας ἁρμόττει· κάλλιον δὲ τοῦτο πάντων ἐστὶ πραγμάτων. εὑρήσεις γὰρ ὡς ἐπὶ πολὺ, τοὺς μὲν σεμνοποιουμένους, ψυχροὺς ὄντας· τοὺς δὲ βελομένους ἀσείους εἶναι, παπίνους φαινομένους. δεῖ δὲ χρῆσθαι μὲν ἀμφοτέραις τοῖς ἰδέαις ταύταις, τὴν δὲ συμφορὰν τὴν ἑκατέραις προσοῦσαν διαφεύγειν.

32 Ὅ, τι ἂν ἀκριβῶς εἰδέναι βούλῃ, ὧν ἐπίστασθαι προσήκει τοὺς βασιλέας, ἐμπειρίαν μέτιθι καὶ φιλοσοφίαν, τὸ μὲν γὰρ φιλοσοφεῖν, τὰς ὁδούς σοι δείξει. τὸ δὲ ἐν αὐτῷ τῶν ἔργων γυμνάζεσθαι, δυνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει.

Θεώρει

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

Θεῶρει τὰ γιγνόμενα, καὶ τὰ συμπίπτοντα, καὶ τοῖς ἰδιώταις & τοῖς τυράννοις. ἐὰν γὰρ τὰ παρελημυθότα μνημονεύῃς, ἄμεινον καὶ σαφῆ τὰ μελλόντων βουλεύσῃ.

33 Δεινὸν ἡγοῦ μὲν ἰδιωτῶν μὲν ἰδιωτῶν ἐξέλαθαι τινας ἀποθνήσκειν, ἵνα πλουτήσαντες ἐπαινεθῶσι· τὰς δὲ βασιλέας μὴ τολμᾶν χρῆσθαι τοῖς ἐπιτηδεύμασι τούτοις, ἐξ ὧν ζῶντες εὐδοκιμήσουσιν.

Βάλε τὰς εἰκόνας τῆς ἀρετῆς ὑπόμνημα μᾶλλον, ἢ τοῦ σώματος, καταλιπεῖν.

Μάλιστα μὲν πρῶτον μὲν ἀσφάλειαν σεαυτῷ & τῇ πόλει παραφυλάττειν. εἰ δ' ἀναγκασθῇς κινδυνεύειν, αἱροῦ καλῶς τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς.

Ἐν ἅπασι τοῖς ἔργοις μέμνησο τῆς βασιλείας, καὶ φρόντιζε ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης ποιήσῃς.

Μὴ φείδῃ τοῦ σαυτοῦ φύσιν ἅμα πᾶσιν ἀναγκαῖον θανεῖν· ἀλλ' ἐπιδεικνύμενος σώματος ἔτυχες, ἀθανασίας ψυχῆς, πρῶτον τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν.

34 Μελέτα φεῦγειν καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα σωφρονεῖν ὅμοια τοῖς εἰρημένοις φρονεῖν.

Ἀεὶ αὖ σοι λογιζομένῳ φαίνεται βέλτιον, τοῦτο τοῖς ἔργοις ἐπιτελεῖν.

Ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις.

Ἃ τοῖς πᾶσι τοῖς ἑαυτοῦ αὐξουσιν συμβουλεύσας, τούτοις αὐτὸς ἐμμένειν ἀξίου.

Χρῶ τοῖς εἰρημένοις, ἢ ζήτει βέλτιω τούτων.

Σοφὸς νόμιζε μὴ τοὺς ἀκριβῶς φεῦγειν μικρῶν ἐρίζοντας, ἀλλὰ τοὺς δι' ὀλίγων τὰ μέγιστα λέγοντας· μὴ γὰρ τοὺς μὲν ἄλλοις εὐδαιμονίαν ὑποσχομένους, αὐτοὺς δ' ἐν πολλαῖς ἀπορίαις ὄντας· ἀλλὰ τοὺς μέ-

τρια

σεια μὴ περὶ αὐτῶν λέγοντας, ὁμιλεῖν ἢ πρὸς πράγμασι καὶ πρὸς ἀνθρώποις δυναμένους, καὶ μὴ διαταραττομένους ἐν ταῖς τοῦ βίου μεταβολαῖς, ἀλλὰ καλῶς καὶ μετρίως, καὶ τὰς συμφορὰς, καὶ τὰς δυσχρίας φέρειν δυναμένους.

Καὶ μὴ θαύμαζε, εἰ πολλὰ τῶν εἰρημένων ἐστὶν, ἃ σὺ γινώσκεις. οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν· ἀλλ' ἠπόρουν ὅτι τοσούτων ὄντων τὸ πλῆθος, καὶ τῶν ἰδιωτῶν καὶ τῶν ἀρχόντων, οἱ μὲν τι τούτων εἰρήκασιν, οἱ δὲ ἀκηκόασιν, οἱ δὲ ἑτέρους πεῖσαντας ἑωράκασιν, ἔνια δὲ αὐτοὶ τυγχάνουσιν ἐπιτηδεύοντες. ἀλλὰ γὰρ οὐκ ἐν τοῖς λόγοις χρὴ τοῖς περὶ τῶν ἐπιτηδευμάτων ζητεῖν τὰς καλοκαγαθίας, ἐν οἷς ἔστι μὲν δόξαι, ἔστι δὲ ἄπιστον, ἔστι δὲ ἔξω τῶν νομιζομένων οὐδὲν ἐστὶν εὑρεῖν· ἀλλ' ἡγεῖσθαι τοῦτον εἶναι χαριέστατον, ὃς ἂν τοῖς διεσπαρμένοις ἐν ταῖς ἄλλων διανοίαις ἀθροίσας τὰ πλεῖστα δυνηθῇ, καὶ φέρων κάλλιστα περὶ αὐτῶν. ἐπεὶ καὶ ἐκεῖνό μοι φαίνεται λέγειν, ὅτι τὰ συμβαλλόμενα καὶ τοῖς ποιημάτοις, καὶ τοῖς συγγράμμασι, χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν, ἐμοὶ μὲν ἥδιστά γε αὐτῶν ἀκούουσιν, ἀλλὰ παντὸς πονοῦσιν, ὅπερ περὶ τοὺς νοσοῦντας. καὶ γὰρ ἐκείνους ἐπαινοῦσι μὲν ἅπαντες· πωλεῖσθαι ἢ ἐβούλοντο, ἀλλὰ μᾶλλον αἱροῦντο σωθῆναι τοῖς συνεξαμαρτάνουσιν, ἀλλ' ἢ τοῖς ἀποτρέπουσι. σημεῖον δ' ἄν τις ποιήσαιτο τὴν Ἡσιόδου, καὶ Θεόγνιδος, καὶ Φωκυλίδου ποίησιν. καὶ γὰρ τούτους φασὶ μὲν ἀρίστους συμβούλους γεγονέναι τῷ βίῳ τῷ τῶν ἀνθρώπων· πῶς δ' ἂν λέγοντες, αἱροῖντο συνδιατρίβειν τοῖς ἀλλήλων ἀνοίαις μᾶλλον, ἢ τοῖς ἐκείνων σοφίσμασι. ἔτι δ' εἴπερ ἐκλέξειε, καὶ τῶν παρεληλυθότων ποιητῶν τὰς καλλίστας γνώμας, ἐφ' αἷς ἐκεῖνοι μάλιστα ἐσπούδασαν,

δασαν, ὁμοίως αὖ κ᾽ πρὸς ταύτας διαπεθεῖεν. ἥδιον γὰρ αὖ κωμῳδίας τ᾽ φαυλοτάτης, ἢ τ᾽ ἄτω πυκνῶς πεποιημένων ἀκούσαιεν. ἐπὶ δεῖ καθ᾽ ἓν ἕκαστον λέγοντα διατρίβειν; ὅλως γὰρ εἰ ἐθέλωμεν σκοπεῖν τὰς φύσεις τ᾽ ἀνθρώπων, εὑρήσομεν τὰς πολλὰς αὐτῶν, ἄτε τ᾽ σιλίων χαίροντας τοῖς ὑγιαινοτάτοις, ἄτε τ᾽ ἁπιτηδευμάτων τοῖς καλλίστοις, ἄτε τ᾽ πραγμάτων τοῖς βελτίστοις, ἄτε τ᾽ μαθημάτων τοῖς ὠφελιμωτάτοις· ἀλλὰ παντάπασιν ἀνανδίας τῷ συμφέροντι τὰς ἡδονὰς ἔχοντας, κ᾽ δοκοῦντας καρτερικὰς εἶναι κ᾽ φιλοπόνους, σὺ τ᾽ δεόντων τι μὴ ποιοῦντας. ὥστε, πῶς αὖ τις τοῖς τοιούτοις, ἢ παραινῶν, ἢ διδάσκων, ἢ χρήσιμόν τι λέγων ἀρέσειεν, οἱ πρὸς τοὺς εἰρημένους λόγους, φθονοῦσι μὲν τοῖς εὐφρονοῦσιν, ἀπλοῦς ἢ ἡγοῦνται τὰς νοῦν οὐκ ἔχοντας· ἄτω ἢ τὰς ἀληθείας τ᾽ πραγμάτων φεύγουσιν, ὥστε ἀδὲ τὰ σφέτερ᾽ αὐτῶν ἴασιν, ἀλλὰ λυπηθέντας μὲν πρὸς τῶν ἰδίων λογιζόμενοι, χαίρουσι ἢ πρὸς τῶν ἀλλοτρίων διαλεγόμενοι. βούλοιντο δ᾽ αὖ τῷ σώματι κακοπαθῆσαι μᾶλλον, ἢ τῇ ψυχῇ πονῆσαι, κ᾽ σκέψασθαι πρός τινος τ᾽ ἀναγκαίων. εὕροι δ᾽ αὖ τις αὐτούς, ἐν μὲν ταῖς πρὸς ἀλλήλους συνουσίαις λοιδορουμένους, ἢ λοιδορουμένους· ἐν ἢ τ᾽ ἐρημίαις δ᾽ βαλλομένους, ἀλλ᾽ ἀχομένους. λέγω ἢ ταῦτα δ᾽ κ᾽ πάντων, ἀλλὰ κ᾽ τ᾽ ἐνόχων τοῖς εἰρημένοις ὅλων. σκεῖνο δ᾽ ἂν φανερὸν, ὅτι δεῖ τὰς βουλομένους ἢ ποιεῖν, ἢ γράφειν τι κεχαρισμένον τοῖς πολλοῖς, μὴ τὰς ὠφελιμωτάτους τῶν λόγων ζητεῖν, ἀλλὰ τὰς μυθωδεστάτους. ἀκούοντες μὲν γὰρ τ᾽ φαύλων, χαίρουσι· πειρῶντες δὲ τὰς ἀγῶνας κ᾽ τὰς ἀμίλλας, ἄχθονται. διὸ κ᾽ τὸν Ὁμηρ ποιῆσιν, κ᾽ σὺ᾽ πρώτους εὑρόντας τραγῳδίαν ἄξιον θαυ-

θαυμάζειν ὅτι καλιδόντες τὴν φύσιν τὴν τῶν ἀνθρώπων, ἀμφοτέραις ταύταις κατεχρήσαντο πρὸς τὴν ποίησιν. ὁ μὲν γὰρ, τοὺς ἀγῶνας, καὶ τοὺς πολέμους τῶν ἡμιθέων ἐμυθολόγησεν· οἱ δὲ, τοὺς μύθους εἰς ἀγῶνας καὶ πράξεις κατέστησαν· ὥστε μὴ μόνον ἀκούειν ἡμῖν, ἀλλὰ καὶ θεατὰς γενέσθαι· τοιούτων δὲ καὶ τοσούτων ἁμαρτημάτων ὄντων, δέδοκται τοῖς ἐπιθυμοῦσι τοὺς ἀνθρωπίνους ψυχαγωγεῖν, ὅτι μὲν νουθετεῖν καὶ συμβουλεύειν ἀφεκτέον· ἐκεῖνα δὲ γραπτέον, καὶ λεκτέον, οἷς ὁρῶσι τοὺς ὄχλους χαίροντας. Ταῦτα δὲ διῆλθον, ἡγούμενός σε δεῖν οὐχ ἕνα τῶν πολλῶν, ἀλλὰ πολλῶν ὄντα τυραννον, μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις, μηδὲ τὰ ἀναθήματα τῶν πραγμάτων, μηδὲ τοὺς οὐφρονοῦντας τῶν ἀνθρώπων ταῖς ἡδοναῖς ἀνακρίνειν, ἀλλ' ἀπὸ τῶν πράξεων τῶν χρησίμων αὐτοὺς δοκιμάζειν· ἄλλως τε ἐπιδὰν εἰς τῶν γυμνασίων τὴν ψυχὴν ἀμφισβητῶσιν οἱ εἰς τὴν φιλοσοφίαν διατρίβοντες· καὶ φασὶν, οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ δὲ, διὰ τῶν πολιτικῶν, οἱ δὲ, δι' ἄλλων τινῶν φρονιμωτέρους ἑαυτοὺς τοὺς αὐτοῖς συνησιάζοντας. ἐκεῖνο δὲ πάντες ὁμολογοῦσιν, ὅτι δεῖ τὸν καλῶς πεπαιδευμένον, ἐξ ἑκάστου τούτων μέρους συμβουλεύειν δυνάμενον. χρὴ τοίνυν ἀφέμενον τῶν ἀμφισβητουμένων, ἀπὸ τοῦ ὁμολογουμένου ἐλθόντα, λαμβάνειν αὐτῶν τὸν ἔλεγχον, καὶ μάλιστα μὲν ἀπὸ τῶν καιρῶν θεωρεῖν τοὺς συμβουλεύοντας· εἰ δὲ μὴ, τοὺς καθόλου τῶν πραγμάτων λέγοντας· καὶ τοὺς μηδὲν γινώσκοντας τῶν δεόντων, ἀποδοκιμάζειν. δῆλον γὰρ, ὡς ὁ μηδὲν ὢν αὐτῷ χρήσιμος, ἀεὶ ἂν ἄλλον φρόνιμον ποιήσειεν. τοὺς δὲ νοῦν ἔχοντας, καὶ δυναμένους ὁρᾶν πλέον τι τῶν ἄλλων, καὶ πολλῶν ποιοῦσι, καὶ θεραπεύειν,

γινώσκων,

γινώσκων, ὅτι σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ πολυαννικώτατον ἁπάντων κτημάτων ἐστίν. ἡγοῦ οὖν τούτους σοὶ μεγίστην ποιήσειν τὴν βασιλείαν, οἵτινες αὖ τὴν Δημόνοιαν τὴν σὴν πολεῖσαι ὠφελῆσαι δυνηθῶσιν. Ἐγὼ μὲν ἂν ἅ τε γινώσκω, παραινέσαι, καὶ πρὸς σὲ τούτοις, οἷς τυγχάνω δυνάμενος. βούλομαι δὲ καὶ τοὺς ἄλλους, ὅπερ εἶπον ἀρχόμενος, μὴ τὰς εἰθισμένας ἀεὶ σοι δωρεὰς, ἃς ὑμεῖς πολὺ πλείονος ἀγορεύετε παρὰ τῶν διδόντων, ἢ τῶν πωλούντων· ἀλλὰ τοιαύτας, αἷς ἐὰν σφόδρα χρήσῃ, καὶ μηδεμίαν ἡμέραν Δαλίπῃς, ἃ καταιρίψεις, ἀλλὰ μείζους καὶ πλείονος ἀξίας ἅπασας αὐτὰς ποιήσῃς.

ΙΣΟΚΡΑΤΟΥΣ

ΝΙΚΟΚΛΗΣ,

ἢ Συμβουλευτικός.

ΕΙΣΙ τινες οἳ δυσκόλως ἔχουσι πρὸς τοὺς λόγους, καὶ διαμέμφονται τοὺς φιλοσοφοῦντας· καὶ φασὶν, αὐτοὺς οὐκ ἀρετῆς, ἀλλὰ πλεονεξίας ἕνεκα, ποιεῖσθαι τοὺς τοιούτους διατριβάς. ἡδέως οὖν ἂν πυθοίμην τοῦτο παρ' ἑκατέρων, διὰ τί τοὺς μὲν οὐ λέγειν ὀρθῶς ἐπιθυμοῦντας φεύγουσι, τοὺς δ' ὀρθῶς πειρᾶσθαι βουλομένους ἐπαινοῦσιν. εἰ γὰρ αἱ πλεονεξίαι λυποῦσιν αὐτοὺς, πλείους καὶ μείζους ἐκ τῶν ἔργων, ἢ τῶν λόγων εὑρήσομεν γιγνομένας. ἔπειτα κἀκεῖνο ἄτοπον εἰ λέληθεν αὐτοὺς, ὅτι τοῖς μὲν θεοὺς ἀσεβοῦμεν, καὶ τὴν δικαιοσύνην ἀ-

σκοῦμεν,

σκέμθω, καὶ τὰς ἄλλας ἀρετὰς ἐπιτηδεύομθω, οὐχ ἵνα τῶν ἄλλων ἔλαττον ἔχομθω, ἀλλ' ὅπως αὖ ὡς μετὰ πλείστων ἀγαθῶν τὸν βίον διάγωμθω. ὥστε ἀκατηγορήτου τούτων τῶν πραγμάτων ἐστὶν, δι' ὧν αὖ τις μετ' ἀρετῆς πλεονεκτήσειεν. ἀλλὰ τῶν ἀνθρώπων τῶν περὶ τὰς πράξεις ἐξαμαρτανόντων, ἢ τοῖς λόγοις ἐξαπατώντων, καὶ μὴ δικαίως χρωμένων αὐτοῖς. θαυμάζω δὲ τῶν ταυτὶ τὶ γνώμην ἐχόντων, ὅπως. ἀκ τ' πλεῖστον, καὶ τὶν ῥώμην καὶ τὶν ἀνδρείαν κακῶς λέγειν. εἴπερ γὰρ διὰ σὺ ἐξαπατῶντας, καὶ τοὺς ψαδομθύς, περὶς τοὺς λόγους καλεπῶς ἔχουσι, περσήκει καὶ τοῖς ἄλλοις ἀγαθοῖς αὐτοὺς ἐπιμαῖν. φανήσον) γὰρ τινες καὶ τῶν ταῦτα κεκτημθύων ἐξαμαρτάνοντες, κ πολλὰς διὰ τάτων καλῶς ποιοῦντες. ἀλλὰ γὰρ ἀ δίκαιον, ἀδ' εἴ τινες τὰς ἁπάντων τύπτοιεν, τ ῥώμης κατηγορεῖν· ἄτε διὰ τὰς ἀποκλινούτας τ ἀνδρείαν λοιδορεῖν, ἅθ' ὅλως τ τῶν ἀνθρώπων πονηρίαν ἐπὶ τὰ πράγματα μεταφέρειν· ἀλλ' αὐτὰς ἐκείνας ψέγειν, ὅσοι τοῖς ἀγαθοῖς κακῶς χρῶντα, καὶ τοῖς ὠφελεῖν δυναμθύοις, τούτοις βλάπτειν τὰς συμπολιτευομθύας ἐπιχειροῦσι. νυνὶ δ' ἀμελήσαντες τοῦτον τ τρόπον περὶ ἑκάστα διορίζεσθαι, περὶς ἅπαντας τὰς λόγους δυσκόλως διάκεινται· καὶ τοσοῦτον διημαρτήκασιν, ὥστε οὐκ αἰσθάνον) πιστῷ πράγματι δυσμθωῶς ἔχοντες, ὃ πάντων τῶν ὄντων ἐν τῇ τ ἀνθρώπων φύσει πλείστων ἀγαθῶν αἴτιόν ἐστι. τοῖς μὲν γὰρ ἄλλοις οἷς ἔχομθω, οὐδὲν τ ἄλλων ζώων διαφέρομθω· ἀλλὰ πολλῷ κ τῷ τάχει, κ τῇ ῥώμῃ, καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι τυγχάνομθω ὄντες. ἐγχωμθύσει δ' ἡμῖν ἔ πείθειν ἀλλήλους κ δηλοῦν περὶς ἡμᾶς αὐτὰς, περὶ ὧν αὖ βουλη-

θῶμεν ἀ μόνον τ̃ ἡμελωδῶς ζῆν ἀπηλλάγημεν, ἀλλὰ
κ̀ συνελθόντες, πόλεις ὠκίσαμεν, κ̀ νόμους ἐθέμεθα, Ϲ
τέχνας εὕρομεν κ̀ σχεδὸν ἅπαντα τὰ δι' ἡμῶν μεμη-
χάνημένα, λόγ⊙ ἡμῖν ἐστιν ὁ συγκαταστκευάσας.
ἔτ⊙ γὰρ κ̀ περὶ τῶν δικαίων κ̀ περὶ τῶν ἀδίκων Ϲ τ̃
αἰσχρῶν, κ̀ τῶν καλῶν ἐνομοθέτησεν· ὧν μὴ διαφε-
ρόντων, οὐκ ἂν οἷοί τε ἦμεν οἰκεῖν μεθ' ἀλλήλων. τού-
τῳ Ϲ οὐ κακὸς ἐξελέγχομαι, Ϲ τὰς ἀγαθὰς ἐγκω-
μιάζομεν. διὰ τοῦτο τοὺς τε ἀνοήτους παιδεύομεν, κ̀
τὰς φρονίμους δοκιμάζομεν. τὸ γὰρ λέγειν ὡς δεῖ, τοῦ
φρονεῖν οὐ μέγιστον σημεῖον ποιούμεθα. κ̀ λόγ⊙ ἀλη-
θὴς κ̀ νομιμ⊙, κ̀ δίκαι⊙ ψυχῆς ἀγαθῆς κ̀ πιστῆς εἴ-
δωλόν ἐστι. μετὰ τούτου κ̀ περὶ τῶν ἀμφισβητησίμων
ἀγωνιζόμεθα, κ̀ περὶ τῶν ἀγνοουμένων σκοπούμεθα.
τοῖς γὰρ πεῖσαι, οἷς τοὺς ἄλλους λέγοντες πείθομεν, τοῖς
αὐτοῖς τούτοις περὶ τ̃ ἰδίων βουλευόμενοι, χρώμεθα,
κ̀ ῥητορικοὺς μὲν καλοῦμεν, τοὺς ἐν τῷ πολιτικῷ λέγειν
δυναμένους. ἀβούλους δ' ἡγούμεθα, οἵτινες αὐ αὐτοὶ περὶ
αὑτῶν ἄρισται περὶ τ̃ πραγμάτων διαλεχθῶσιν. εἰ δὲ
δεῖ συλλήβδην περὶ τ̃ δυνάμεως ταύτης εἰπεῖν, ἃ δ' ἐν τῶν
φρονίμως πραττομένων εὑρήσομεν ἀλόγως γιγνόμε-
νον. ἀλλὰ κ̀ τ̃ ἔργων κ̀ τῶν διανοημάτων ἁπάντων ἡ-
γεμόνα τ̃ λόγον ὄντα, κ̀ μάλιστα χρωμένους αὐτῷ τοὺς
πολεῖσιν νῦν ἔχοντας. ὥστε τοὺς τολμῶντα βλασφη-
μεῖν περὶ τῶν παιδευόντων κ̀ φιλοσοφούντων, ὁμοίως
ἄξιον μισεῖν ὥσπερ τοὺς εἰς τὰ τῶν θεῶν ἕδη ἐξαμαρτά-
νοντας· ἐγὼ δ' ἀποδέχομαι μὲν πάντας τοὺς λόγους τοὺς
Ϲ κ̃ μικρὸν ἡμᾶς ὠφελεῖν δυναμένους· ἃ μὲν ἀλλὰ
κ̀ καλλίστους ἡγοῦμαι, κ̀ βασιλικωτάτους, κ̀ μάλιστα
πρέποντας ἐμοί, οὐ περὶ τῶν ἐπιτηδευμάτων, κ̀
τῶν

τῶν πολιτῶν θαυμάζοντας· καὶ τούτων αὖ πάλιν ὅσοι διδάσκουσι τοὺς τε δυναστεύοντας, ὡς δεῖ τῷ πλήθει χρῆσθαι, καὶ σοὶ ἰδιώτας, ὡς χρὴ πρὸς ἄρχοντας διακεῖσθαι. καὶ γὰρ διὰ τούτων ὁρῶ τὰς πόλεις εὐδαιμονεστάτας καὶ μεγίστας γιγνομένας. Τὸν μὲν οὖν ἕτερον λόγον, ὡς χρὴ τυραννεῖν, Ἰσοκράτης ἠκούσατε. τὸ δ' ἐχόμενον, ἃ δεῖ ποιεῖν τοὺς ἀρχομένους, ἐγὼ πειράσομαι διελθεῖν· οὐχ ὡς ἐκεῖνον ὑπερβαλούμενος, ἀλλ' ὡς προσῆκόν μοι περὶ τούτων μᾶλλον διαλεχθῆναι πρὸς ὑμᾶς. εἰ μὲν γὰρ ἐμὲ μὴ δηλώσαιτος, ἃ βούλομαι ποιεῖν ὑμᾶς, διαμαρτάνοιτε τῆς ἐμῆς γνώμης, οὐκ ἂν εἰκότως ὑμῖν ὀργιζοίμην. εἰ δὲ προθεμένου ἐμοῦ, μηδὲν γίγνοιτο τοιοῦτον, δικαίως ἂν ἤδη τοῖς μὴ πραττομένοις μεμφοίμην. ἡγοῦμαι δ' ἅπασι μάλιστα προσήκειν καλέσαι, καὶ προτρέψαι πρὸς τὸ μνημονεύειν ὑμᾶς τὰ ῥηθέντα, καὶ πειθαρχεῖν αὐτοῖς, οὐκ εἰ περὶ τί συμβουλεύειν μόνον γνοίμην, καὶ παυσάμενος ἀπαγγελθήσας ἀπαλλαγείην· ἀλλ' εἰ προσεπιδείξαιμι, πρῶτον μὲν τὴν πολιτείαν τὴν παρεῦσαν, ὡς ἄξιόν ἐστιν ἀγαπᾶν, οὐ μόνον διὰ τὴν ἀνάγκην, οὐδ' ὅτι πάντα τὸν χρόνον μετ' αὐτῆς οἰκοῦμεν, ἀλλ' ὅτι καὶ βελτίστη τῶν ἄλλων πολιτειῶν ἐστιν. ἔπειθ' ὡς ἐγὼ ταύτην ἔχω τὴν γνώμην οὐ δι' ἀνομίαν, οὐδ' ἀλλοτρίαν, ἀλλ' ὁσίως καὶ δικαίως, καὶ δι' οὓς ἐξ ἀρχῆς πεπολίτευμαι, καὶ διὰ τὸν πατέρα, καὶ δι' ἐμαυτόν. τούτων γὰρ προαποδεχθέντων, οὐκ ἔστιν ὅστις οὐκ αὐτὸς αὑτοῦ καταγνώσεται τὸ μεγίστην ζημίαν, ἐὰν μὴ πειθαρχῇ τοῖς ὑπ' ἐμοῦ συμβουλευθεῖσι καὶ προσαχθεῖσι. Περὶ μὲν οὖν τῶν πολιτειῶν (ἐντεῦθεν γὰρ ὑποληπτέον ἄρξασθαι) οἶμαι πᾶσι δοκεῖν, δεινότατον μὲν εἶναι τὸ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς, καὶ τοὺς πονηρούς.

δικαιότατον ἦ, τὸ διορθώσασθαι περὶ τούτων, καὶ μὴ τοὺς
ἀνομοίους τῶν ὁμοίων τυγχάνειν, ἀλλὰ καὶ πράττειν,
καὶ τιμᾶσθαι κατὰ τὴν ἀξίαν ἑκάστους. αἱ μὲν τοίνυν
ὀλιγαρχίαι καὶ δημοκρατίαι, τὰς ἰσότητας τοῖς μετέχουσι
τῶν πολιτειῶν ζητοῦσι· καὶ τοῦτο δοκιμεῖ παρ' αὐταῖς,
ἐὰν μήθ' ἕτερος ἑτέρου δυνήται πλέον ἔχειν· ὃ τοῖς πο-
νηροῖς συμφέρον ἐστίν. αἱ δὲ μοναρχίαι πλεῖστον μὲν νέ-
μουσι τῷ βελτίστῳ, δεύτερον δὲ τῷ μετ' ἐκεῖνον, τρί-
τον ἢ καὶ τέταρτον, καὶ τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν λόγον. καὶ
ταῦτα, εἰ μὴ παντάχοῦ καθέστηκεν, ἀλλά γε βέλ-
τιστα τῆς πολιτείας τοιοῦτόν ἐστιν. καὶ μοι δοκεῖ δικαίαν τε
τὰς φύσεις τῶν ἀνθρώπων, καὶ τὰς πράξεις, ἅπαντες ἂν
τὰς τυραννίδας μᾶλλον ὁμολογήσαιεν. καίτοι τίς οὐκ
ἂν δέξαιτο τῶν εὖ φρονούντων, τοιαύτης πολιτείας
μετέχειν, ἐν ᾗ μὴ διαλήσει χρησὸς ὢν μᾶλλον ἢ φέ-
ρεσθαι μετὰ βίας πλήθους, μηδὲ γιγνώσκομεν ὁπῖον τίς
ἐστιν; ἀλλὰ μοι δοκεῖ πρότερον σκέψασθαι, καὶ δικαιότερον
δικαίως ἂν αὐτοῖς κρίναιμεν, ὅσῳ περ ῥᾴδιόν ἐστιν ἑνὸς
ἀνδρὸς γνώμην σκοπεῖσθαι τὴν νῦν μᾶλλον, ἢ πολλαῖς δια-
νοίαις καὶ παντοδαπαῖς ζητεῖν ἀρέσκειν. ὅτι μὲν ἂν ἡδίων
ἐστὶ, καὶ πρότερα καὶ δικαιότερα, διὰ πλειόνων μὲν ἂν
τις ἀποδείξειεν· ἐγὼ μὲν ἀλλὰ καὶ διὰ τούτων σαφῆ ῥᾴ-
διόν ἐστιν. περὶ δὲ τῶν λοιπῶν ὅσον αἱ μοναρχίαι καὶ πρὸς
τὸ βουλεύσασθαι, καὶ πρὸς τὸ πρᾶξαι τὰ δέοντα δια-
φέρουσιν, ἅπαντες ἂν κάλλιστα θεωρήσαιμεν, εἰ τὰς μεγί-
στας τῶν πράξεων παραλλήλας τιθέντες, ἐξετάζοιμεν ἐπι-
χειρήσαιμεν αὐτάς. οἱ μὲν τοίνυν κατ' ἐνιαυτὸν εἰς
τὰς ἀρχὰς εἰσιόντες, πρότερον ἰδιῶται γίγνονται, πρὶν
αὐθέκαστα τῆς πόλεως, καὶ λαβεῖν ἐμπειρίαν αὐτῶν. οἱ
δ' ἀεὶ τοῖς αὐτοῖς ἐπιτεταγμένοι, καὶ τὴν φύσιν κατα-

δεεστέραν

δεεσέρων ἔχωσιν, ἀλλ' ἐν πᾶς γε ἐμπειρίας πολὺ τῶν ἄλλων προέχωσιν. ἔπειτα οἱ μὲν πολλῶν καταμελοῦσιν, εἰς ἀλλήλους ἀποβλέποντες· οἱ δ', ὀλίγους ὀλιγωροῦσιν, εἰδότες, ὅτι δεῖ πάντα δι' αὐτῶν γίγνεσθαι. πρὸς δὲ τούτοις, οἱ μὲν ἐν τῇ ὀλιγαρχίαις, καὶ τῇ δημοκρατίαις, διὰ τὰς πρὸς σφᾶς αὐτοὺς φιλονικίας, λυμαίνονται τοῖς κοινοῖς· οἱ δ' ἐν τῇ μοναρχίαις ὄντες, ὃν ἔχοντες ὅτῳ φθονήσωσιν, πρεῖς ἀπάντων, ὡς οἷόν τ' ἐστὶ, τὰ βέλτιστα πράττουσιν. ἔπειτα, οἱ μὲν, ὑστερῶσι τῶν πραγμάτων. (τὸν μὲν γὰρ πολὺν χρόνον διατρίβουσιν ἐν τοῖς ἰδίοις διαφθείρουσι· ἐπειδὰν δὲ εἰς τὰ συνέδρια συνέλθωσιν, πολυανάκις αὖθις αὐτοὺς εὕροι διαφερομένους, ἢ κοινῇ βαλλομένους,) οἱ δ', ὅτε συνεδρίων, ὅτε χρόνων αὐτοῖς ἀποδεδειγμένων, ἀλλὰ καὶ τὰς ἡμέρας, καὶ τὰς νυκτὰς διὰ τῆς πράξεσιν ὄντες, οὐκ ἀπολείπονται τῶν καιρῶν, ἀλλ' ἕκαστον ἐν τῷ δέοντι πράττουσιν. ἔτι δ', οἱ μὲν, πρὸς ἀλλήλους δυσμενῶς ἔχουσι, καὶ βέλτιστ' ἂν καὶ τοὺς πρὸ αὐτῶν ἄρχοντας, καὶ τοὺς ἐφ' ἑαυτῶν, ὡς κάκιστα διοικοῦσι τὴν πόλιν, ἵν' ὡς μεγίστην δόξαν αὐτοὶ λαμβάνωσιν· οἱ δ', διὰ παντὸς ἐν βίᾳ κύριοι τῶν πραγμάτων ὄντες, εἰς πάντα τὸν χρόνον καὶ τὰς διανοίας ὁμοίως ἔχουσι, τὸ δὲ μέγιστον πάντων· τοῖς μὲν γὰρ κοινοῖς, οἱ μὲν, ὡς ἰδίοις· οἱ δ', ὡς ἀλλοτρίοις, προσέχουσι τὸν νοῦν· (συμβόλοις χρῶνται) πρὸς αὐτῶν, οἱ μὲν, τῶν ἀστῶν τοῖς βελτιστοτάτοις· οἱ δ', ἐξ ἁπάντων ἐκλεξάμενοι τοὺς φρονιμωτάτους· καὶ διώκουσιν, οἱ μὲν, τοὺς ἐν τοῖς ὄχλοις εἰπεῖν δυναμένους· οἱ δ', τοὺς χρῆσθαι τοῖς πράγμασιν ἐπισταμένους. εἰ μόνον δ' ἐν τοῖς ἐγκυκλίοις, καὶ τοῖς καθ' ἡμέραν γιγνομένοις, αἱ μοναρχίαι διαφέρουσιν. ἀλλὰ καὶ τὰς ἐν τῷ πολέμῳ πλεονεξίας ἁπάσας φεύγει-

λήφασι. ἐ γὰρ ᾠδασκάσαντας δυνάμις, καὶ χρῆσις τούτοις, ὥστε ἐ λαθεῖν ἐ ὀφθῆναι, ἐ τοὺς μὲν πεῖσαι, τοὺς δὲ βιάσασθαι, ᾠδὰ δὲ καὶ τ' ἐκπλήξασθαι, τοὺς δὲ ταῖς ἄλλαις θεραπείαις θεραπεύσασθαι, μᾶλλον αἱ τυραννίδες τ' ἄλλων πολιτειῶν οἰκειότατ' εἰσί. ἐ ταῦτα ἐκ τ' ἔργων ἂν τις ἐκμάθοι, ἢ τῶν λόγων πιστεύσειεν. τοῦτο μὲν γὰρ, τ' τῶν Περσῶν δυνάμιν ἅπαντες ἴσμεν τηλικαύτην τὸ μέγεθος γεγενημένην, ἀ διὰ τ' τῶν ἀνδρῶν φρόνησιν, ἀλλ' ὅτι μᾶλλον τῶν ἄλλων τ' βασιλείαν ἠμῶσι· τοῦτο δὲ, Διονύσιον τ' τύραννον, ὃς ᾠδαλαβὼν τ' μὲν ἄλλην Σικελίαν ἀνάστατον γεγενημένην, τ' δὲ αὐτοῦ πατρίδα πολιορκουμένην, ἀ μόνον αὐτὴν τῶν παρόντων κινδύνων ἀπήλλαξεν, ἀλλὰ ἐ μεγίστην τῶν Ἑλληνίδων πόλεων ἐποίησεν. ἔτι δὲ Καρχηδονίους, καὶ Λακεδαιμονίους οὐκ ἄρξαι τῶν Ἑλλήνων πολιτευομένους, οἰκεῖ μὲν, ὀλιγαρχουμένους. ᾠδὰ δὲ τ' πόλεμον, βασιλευομένους. ἔχοι δ' ἂν τις ἐπιδεῖξαι καὶ τ' πόλιν τῶν Ἀθηναίων, τὴν μάλιστα τὰς τυραννίδας μισοῦσαν, ὅταν μὲν πολλοὺς ἐκπέμψῃ στρατηγοὺς, ἀτυχοῦσαν· ὅταν δὲ ἑνὸς ποιήσηται οὐκ κινδυνους, κατορθοῦσαν. καί τοι, πῶς ἂν τις σαφέστερον ἐπιδείξειεν, ἢ διὰ τούτων τῶν ᾠδαγμάτων, πλείστας τὰς μοναρχίας ἀξίας οὔσας. φαίνονται γὰρ οἵ τε διὰ τέλους τυραννούμενοι μεγίστας δυνάμις ἔχοντες· οἵ τε καλῶς ὀλιγαρχούμενοι, ὥσθ' ἁμάλιστα σωζόμενοι, οἱ μὲν, ἕνα μόνον στρατηγὸν, οἱ δὲ, βασιλέα τῶν στρατοπέδων κύριον καθιστάντες· οἵ τε μισοῦντες τὰς τυραννίδας, ὁπόταν πολλοὺς ἄρχοντας ἐκπέμψωσιν, ἀδὲν τῶν δεόντων πεπόνθασι. εἰ δεῖ τι καὶ δεχαίων εἰπεῖν, λέγεται καὶ τοὺς θεοὺς ὑπὸ τοῦ Διὸς βασιλεύεσθαι· ὥστε ὧν, εἰ μὲν ὁ λόγος ἀληθής ἐστι, δῆλον ὅτι κἀκεῖνοι ταὐτὸν

τὸν

τὴν τ καταίσχυνσιν προσκρούσεις. εἰ γὰρ τὸ μὴ σαφὲς μηδεὶς οἶδεν, αὐτοὶ γ εἰκάζοντες οὕτω σοὶ αὐτ ὑπολήψομαι· σημεῖον ὅτι πάντες τὴν μοναρχίαν προτιμῶμεν· ἐγὼ γὰρ ἂν ποτε αὐτῇ χρῆσθαι τὰς θεὰς ἔφαμην, εἰ μὴ πολὺ τῶν ἄλλων προέχειν αὐτὴν ἐνομίζομεν. σοὶ μὲν ἔν τῶν πολιτῶν, ὅσον ἀλλήλων διαφέρουσιν, ἅπαντα μὲν ἔστ' εἰπεῖν ἔστ' εἰπεῖν δυνατόν ἐστιν ἐμοὶ δὲ ἀλλὰ σοῦ γε τὸ παρὸν ἐξαρκούντως καὶ νῦν εἴρηται σοὶ αὐτάν. Ὡς γὰρ προσήκοντος ἡμεῖς τὴν ἀρχὴν ἔχομεν, πολὺ τούτου σωφρονέστερος, καὶ μᾶλλον ὁμολογοῦμεν ὁ λόγος ἐστίν. τίς γὰρ οὐκ οἶδεν, ὅτι Τεῦκρος μὲν ὁ τῆς ἡμῶν ἀρχηγὸς, σφετεραβὰν δὴ τῶν ἄλλων πολιτῶν σφετέρους, πλοῦσιος δεῦρο, καὶ πόλιν αὐτοῖς ἔκτισεν. καὶ τὴν χώραν διένεμεν; ὁ δὲ πατὴρ, Εὐαγόρας, ἀπολεσάντων ἑτέρων τὴν ἀρχὴν, πάλιν ἀνέλαβεν, οὐκ οἴκοθεν τὰς μεγίστας κινδύνους· καὶ τοσοῦτον μετέσχεν, ὥστε μηκέτι Φοίνικας Σαλαμινίων τυραννεῖν, ἀλλ' ὧν περ οὗτοι τὴν ἀρχὴν, τούτους καὶ νῦν ἔχειν τὴν βασιλείαν; λοιπὸν οὖν ἐστιν, ὧν σοὶ δέομαι, σοὶ ἐμαυτὸν διελθεῖν· ἵν' εἰδῆσθε, ὅτι πιστός ἐστιν ὑμῶν ὁ βασιλεὺς, ὃς οὐ μόνον διὰ τοῦτ' σφετέρους, ἀλλὰ καὶ δι' ἐμαυτὸν, δικαίως ἂν καὶ μείζονος ἡμῖν τιμῆς τηλικαύτης ἀξιωθείην. οἶμαι γὰρ ἔγωγε πάντας ἂν ὁμολογῆσαι, πλείστου τῶν ἀρετῶν ἀξίας εἶναι τήν τε σωφροσύνην, καὶ τὴν δικαιοσύνην. οὐ γὰρ μόνον ἡμᾶς τὸ καθ' αὑτὰς, ὠφελοῦσιν, ἀλλ' εἰ θέλοιμεν σκοπεῖν καὶ τὰς φύσεις καὶ τὰς δυνάμεις καὶ τὰς χρήσεις τῶν πραγμάτων, εὑρήσομεν τὰς μὲν μετεχούσας μηδαμῶς τούτων τῶν ἰδεῶν μεγάλων κακῶν αἰτίας οὔσας· τὰς δὲ μετουσίας δικαιοσύνης καὶ σωφροσύνης γιγνομένας, πολλὰ τ βίου τ ἀνθρώπων ὠφελούσας. εἰ δὴ

ζηνες τῶν πεπολεμηκότων ἐπὶ ταύτης τ' ἀρετῆς ἐδόκιμησαν, ἡγοῦμαι καὶ μοι πεποιηκέναι τ' αὐτῆς δόξης ἐκείνοις τυγχάνειν. τὴν μὲν οὖν δικαιοσύνην, ἐκεῖθεν αὖ μάλιστα κατίδοιτε. ἐγὼ γὰρ, ὅτ' εἰς τ' ἀρχὴν κατεστάθην, τὰ μὲν βασίλεια χρημάτων κενὰ καὶ πάντα κατεσκευασμένα, τὰ πράγματα δ' ὑπὸ πενίας μεστὰ, καὶ πολλῆς ἐπιμελείας δεόμενα, καὶ φυλακῆς καὶ δαπάνης· εἰδὼς δ' ἑτέρους, ἐν τοῖς πολέμοις, ἐκ πάντος τρόπου τὰ σφέτερ' αὐτῶν διορθουμένους, καὶ πολλὰ μὲν τὴν φύσιν τὴν αὐτῶν πράττειν ἀναγκαζομένους· ὅμως δ' οὐθ' ἑνὸς τούτων διεφθάρην, ἀλλ' ἔτως ὁσίως καὶ καλῶς ἐπεμελήθην τῶν πραγμάτων, ὥστε μηδὲν ἐλλείπειν, ἐξ ὧν οἷόν τ' ἦν αὐξηθῆναι, καὶ πρὸς εὐδαιμονίαν ἐπιδοῦναι τὴν πόλιν. πρός τε γὰρ τοὺς πολίτας, μετὰ τοσαύτης πραότητος προσηνέχθην, ὥστε μήτε φύγας, μήτε θανάτους, μήτε χρημάτων ἀποβολὰς, μήτε ἄλλην μηδεμίαν τοιαύτην ζημίαν ἐπὶ τῆς ἐμῆς γενέσθαι βασιλείας· ἀφάτου δ' ἡμῖν τ' Ἑλλάδος ὄσης, μετὰ τὸν πόλεμον τὸν γενόμενον καὶ πανταχῇ συλλεγέντων ἡμῶν, τὰ πλεῖστα τούτων διέλυσα τοῖς μὲν, ἅπαντα ἀποδίδους· τοῖς δὲ μέρη τ' ἀφαιρούμενος, ἀναβάλλεσθαι, δεόμενος· πρὸς ἃ τοὺς, ὅπως ἐδυνάμην, πρὸς τ' ἐγκλημάτων μετριοπαθοῦμεν. ἔτι δὲ καὶ τῶν τ' ἀπὸ νήσων οἰκούντων δυσκόλως πρὸς ἡμᾶς διακειμένων, καὶ τῆς βασιλέως τῷ μὲν λόγῳ διηλλαγμένης, τῇ δ' ἀληθείᾳ πραγμάτων ἐχόντως ἀμφότερα ταῦτα κατεπραύνας. τῷ μὲν, πρὸς θυμὸν ὑπηρετῶν· πρὸς ἃ τοὺς, δίκαιον ἐμαυτὸν παρέχων. τοσοῦτον γὰρ δέον τ' ἀλλοτρίων ἐπιθυμεῖν, ὥσθ' ἕτεροι μὲν, λίαν καὶ μικρῷ μείζω τ' ὁμόρων δυνάμιν ἔχουσιν, ἀποτιμῶνται τ' γῆς, καὶ πλεονεκτεῖν ζητοῦσιν· ἐγὼ δ'

ἀδὲ

ἀδὲ τὴν διδομένην μοι χώραν ἠξίωσα λαβεῖν· ἀλλ' αἱρεθεὶς μὴ δικαιοσύνης τὴν ἐμαυτοῦ μόνην ἔχειν μᾶλλον, ἢ μὴ κακίας πολλαπλασίαν τῶν ὑπαρχόντων κτήσασθαι. καὶ τί δεῖ καθ' ἕκαστον λέγοντα διατείνειν, ἄλλως τε καὶ σωτηρίως ἔχοντα δηλῶσαι περὶ ἐμαυτοῦ; Φανήσομαι γὰρ μηδένα μήτε πώποτ' ἀδικήσας, πλείους δὲ καὶ τῶν πολιτῶν, καὶ τῶν ἄλλων Ἑλλήνων εὖ πεποιηκώς, καὶ μείζους δωρεὰς ἑκατέροις δεδωκὼς, ἢ σύμπαντες οἱ περὶ ἐμοῦ βασιλεύσαντες. καί τοι χρὴ τοὺς μέγα φρονοῦντας ἐπὶ δικαιοσύνῃ, καὶ περιποιουμένους χρημάτων εἶναι κρείττους, τοιαύτας ὑπερβολὰς ἔχειν εἰπεῖν περὶ αὐτῶν. κἀμὲν δὴ περὶ σωφροσύνης ἔτι μείζω τούτων ἔχω διελθεῖν. εἰδὼς γὰρ ἅπαντας ἀνθρώπους περὶ πλείστου ποιουμένους τοὺς παῖδας τοὺς ἑαυτῶν, καὶ τὰς γυναῖκας, καὶ μάλιστα ὀργιζομένους τοῖς εἰς ταῦτα ἐξαμαρτάνουσι, καὶ τὴν ὕβριν τὴν περὶ ταῦτα μεγίστων κακῶν αἰτίαν γιγνομένην, καὶ πολλοὺς ἤδη τῶν ἰδιωτῶν, καὶ τῶν δυναστευόντων διὰ ταύτην ἀπολλυμένους· ἵνα τοὺς ἐφυγον τὰς αἰτίας ταύτας, ὥστε ἐξ ἧς τὴν βασιλείαν ἔλαβον, οὐδενὶ φανήσομαι σώματι πεπλησιακὼς, πλὴν τῆς ἐμαυτοῦ γυναικός· οὐκ ἀγνοῶν ὡς κἀκεῖνοι ὤφελον τοῖς πολλοῖς δοκιμάζειν, ὅσοι μὲν τὰ τῶν πολιτῶν δίκαιοι τυγχάνειν ὄντες, ἄλλοθεν δέ ποθεν ἑαυτοῖς ἐπορίσαντο τὰς ἡδονάς· ἀλλὰ βουλομένῳ μοι ἐμαυτὸν ὡς πορρωτάτω ποιῆσαι τῶν τοιούτων ὑπονοιῶν, ἅμα δὲ παράδειγμα καταστῆσαι τὸν τρόπον τὸν ἐμαυτοῦ τοῖς ἄλλοις πολίταις, γιγνώσκων, ὅτι φιλεῖ τὸ πλῆθος ἐν τούτοις τοῖς ἐπιτηδεύμασι τὸν βίον διάγειν, ἐν οἷς αὐτοὺς ἄρχοντας τῶν ἑαυτῶν ὁρῶσι διατρίβοντας. ἔπειτα καὶ περὶ σοῦ ἡγούμενος, τοσούτῳ τοὺς βασιλέας βελτίους

εἶναι τῶν ἰδιωτῶν ὅσῳπερ καὶ τὰς ὑμὰς μείζως ἀπῶν ἔχειν· καὶ δύνασθαι ποιεῖν, ὅσοι τὸν μὲν ἄλλον κόσμιως ζῆν ἀναγκάζειν, αὐτοὶ δ' αὐτὸν μὴ σωφρονεστέρους τῶν ἀρχομένων παρέχειν. πρὸς γὰρ τούτοις, τῶν μὲν ἄλλων πράξεων ἐώρων ἐγκρατεῖς καὶ τὸς πολλὸς γιγνομένους. τῆς δ' ἐπιθυμῶν τοῦ πρὸς τὰς παῖδας καὶ τὰς γυναῖκας, καὶ τὸν βελτίστους ἡττωμένους. ἠβουλήθην ἂν ἐν τούτοις ἐμαυτὸν ἐπιδεῖξαι κρατοῦντα δυνάμενον, ἐν οἷς ἔμελλον μόνον τῶν ἄλλων διοίσειν, ἀλλὰ καὶ τῶν ἐπ' ἀρετῇ μέγα φρονούντων ἔπι γε καὶ τῶν τοιούτων πολλῷ κακίαν κατεγνωσκον ὅσοι γυναῖκας λαβόντες, καὶ κοινωνίαν ποιησάμενοι παντὸς τοῦ βίου, μὴ τοσοῦτον ἐπράξαν, ἀλλὰ τοῦ ἀπῶν ἡδονῆς λυποῦσι τούτους, ὑφ' ὧν αὐτοὶ μηδὲν ἀξιοῦσι λυπεῖσθαι· καὶ πρὸς μὲν ἄλλας κοινωνίας ἱκανὰς, ἀπεικεῖς σφᾶς αὐτὸς παρέχουσιν· ἐν δὲ ταῖς πρὸς τὰς γυναῖκας ἐξαμαρτάνουσιν. ὡς εἰδεὶ τοσούτῳ μᾶλλον διαφυλάττειν, ὅσῳπερ οἰκειότερα καὶ μείζως ἅπαντα τυγχάνουσι τῶν ἄλλων. εἶτα καὶ λανθάνουσιν ἔνδον ἐν αὐτοῖς τοῖς βασιλείοις ὄντες, καὶ διαφορὰς ἑαυτοῖς ἐγκαταλείποντες καίτοι χρὴ τὸς ὀρθῶς βασιλεύοντας, μὴ μόνον τὰς πόλεις ἐν ὁμονοίᾳ πράττειν διάγειν, ὧν ἂν ἄρχωσιν, ἀλλὰ καὶ τὸς ἰδίους οἴκους, καὶ τοὺς τόπους ἐν οἷς ἂν κατοικῶσιν. ἅπαντα γὰρ ταῦτα σωφροσύνης ἔργα καὶ δικαιοσύνης ἐστίν. ἃ τῷ αὐτῷ γνώμῃ ἔχον. ἃ δὲ χρὴ τὸ παιδοποιεῖσθαι τοῖς βασιλεῦσι. καὶ ὡήθην δεῖν τὸς μὲν ἐκ ταπεινοτέρας ποιήσασθαι τῶν παίδων, τὸς δ' ἐκ σεμνοτέρας. καὶ τὸς μὲν νόθους ἀπῶν, τὸς δὲ γνησίους καταλιπεῖν· ἀλλὰ πάντας ἔχειν τῷ αὐτῷ φύσιν καὶ πρὸς πατρὸς, καὶ πρὸς μητρὸς ἀνενεγκεῖν, τῶν μὲν θνητῶν, εἰς Εὐαγόραν τὸν πατέρα τὸν ἐμόν·

τῶν

τῶν δ' ἡμιθέων, εἰς Αἰακίδας· τῶν δ' θεῶν, εἰς Δία· κ μηδένα τῶν ἐξ ἐμοῦ γνωμένων ἀποστερηθῶμι ταύτης τ' ἀγωγείας. πολλῶν δέ με προτρεπόντων ἐμμένειν τοῖς ὑπιτηδεύμασι τούτοις, οὐκ ἤκουσά με κἀκεῖνο παρεκάλεσεν, ὅτι τῆς μὲν ἀνδρείας κ τῆς δεινότητος, τῶν ἄλλων τῶν ἀδοκιμάντων, ἐώρων κ τῶν κακῶν ἀνδρῶν πολλοὺς μετέχοντας· τὸ δὲ σωφροσύνης, κ τὸ δικαιοσύνης, ἴδια κτήματα τῶν καλῶν κἀγαθῶν ὄντα. κάλλιστον δ' ἂν ὑπολάβοιμι, εἴπερ δυνατὸν ταύταις τ' ἀρεταῖς προσέχειν τὸν νοῦν, τῶν ἄλλων ἀφελόμενον, ὧν μηδὲν μέρος τοῖς πονηροῖς μέτεστιν, ἀλλὰ κ γνησιώτατα κ βεβαιότατα, κ μέγιστα κ μεγίστων ἐπαίνων ἄξια τυγχάνειν ὄντα. τούτων ἕνεκα ταῦτα διανοηθεὶς, προειλόμην τῶν ἄλλων ἥσκησα τὸ σωφροσύνης, κ τ' δικαιοσύνης· κ ταύτας προθεὶς τῶν ἡδονῶν, ἃ ταῖς ὑπὸ τοῖς ἔργοις μηδεμίαν τιμὴν ἐχούσας, ἀλλὰ ταῖς ὑπὸ τ' δόξαις τ' δι' ἀνδραγαθίαν γινομένας. χρὴ δὲ δοκιμάζειν τὰς ἀρετὰς, οὐκ ἐν τ' αὐταῖς ἰδέαις ἀπάσας· ἀλλὰ τὸ μὲν δικαιοσύνης, ἐν ταῖς ἀποφάσεις· τὸ δὲ σωφροσύνης, ἐν τ' δυνατείαις· τ' δὲ καρτερίαν, ἐν τ' τῶν νεωτέρων ἡλικίαις. ἐγὼ τοίνυν ἐν ἅπασι τοῖς καιροῖς τούτοις φανήσομαι πεῖραν τ' ἐμαυτοῦ φύσεως δεδωκώς. ἐνδεὴς μὲν γὰρ χρημάτων καταλελειμμένος, ὥστε δίκαιον ἐμαυτὸν παρέχον, ὥστε μηδένα λυπῆσαι τῶν πολιτῶν. λαβὼν δ' ἐξουσίαν, ὥστε ποιεῖν ὅ, τι αὐ βούλωμαι, σωφρονέστερος τ' ἰδιωτῶν ἡγούμενος. τούτων δ' ἀμφοτέρων σκεψάμενος, ταύτην ἔχων τ' ἡλικίαν, ἐν ᾗ τὰς πολλὰς αὖ διαιροῦμαι μάλιστα τοὺς τὰς πράξεις ἐξαμαρτάνοντας. κ πάντα ταῦτα ἐν ἑτέροις μὲν ἴσως αὖ ὤκνουν εἰπεῖν, νῦν δ' ὡς δ'

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

ὡς ὁ φιλοτιμούμενος ἐπὶ τοῖς πεπραγμένοις, ἀλλ' ὡς οὐκ ἂν πιστευθεὶς ἐκ τῶν λεγομένων. ὑμεῖς δ' αὐτοί μοι μάρτυρές ἐστε πάντων τῶν εἰρημένων. ἄξιον μὲν οὖν ἐστὶ τοὺς φύσει κοσμίους ὄντας ἐπαινεῖν καὶ θαυμάζειν, ἔτι δὲ μᾶλλον, τοὺς γε κατὰ λογισμὸν τοιούτους ὄντας. οἱ μὲν γὰρ τύχῃ καὶ μὴ γνώμῃ σωφρονοῦντες, τυχὸν ἂν καὶ μεταπέσειεν· οἱ δὲ πρὸς τῷ πεφυκέναι, καὶ διεγνωκότες ὅτι μέγιστόν ἐστι τῶν ἀγαθῶν ἀρετή, δῆλον ὅτι πάντα τὸν βίον ἐν ταύτῃ τῇ τάξει διαμενοῦσι.

Διὰ τοῦτο δὲ πλείους ἐποιησάμην τοὺς λόγους καὶ περὶ ἐμαυτοῦ, καὶ περὶ τῶν ἄλλων τῶν πεφρημένων, ἵνα μηδεμίαν ὑπολίπω πρόφασιν, ὡς ἃ δεῖ ποιεῖν ὑμᾶς ἐκόντας, καὶ προθύμως, αὐτὸς ἂν ἐγὼ παρασκευάζω καὶ συμβουλεύσω.

1 Φημὶ δὴ πρᾶξαι ἕκαστον ὑμῶν, ἐφ' οἷς ἐφέρησεν, ἐπιμελῶς καὶ δικαίως. καθ' ὁπότερον γὰρ ἂν ἐλλίπητέ τι τούτων ἀνάγκη ταύτῃ κακῶς ἔχειν τὰς πράξεις. μηδενὸς οὖν ὀλιγωρεῖτε, μηδὲ καταφρονεῖτε τῶν παρεσταλμένων· ὑπολαμβάνοντες, ὡς ἃ μὲν ταῦτ' ἐστὶν· ἀλλ' ὡς παρ' ἕκαστα τῶν μερῶν ἢ καλῶς ἢ κακῶς ἔχον τὸ σύμπαν, ἅτ' ἐπιδιδάζετε περὶ αὐτῶν· καὶ μηδὲν μηδὲν ἧττον τῶν ἐμῶν, ἢ τῶν ὑμετέρων αὐτῶν. καὶ μὴ νομίζετε μικρὸν ἀγαθὸν εἶναι τὰς τιμάς, ἃς ἔχουσιν οἱ καλῶς τῶν ἡμετέρων ἐπιστατοῦντες.

2 Ἀπέχεσθε τῶν ἀλλοτρίων, ἵν' ἀσφαλέστερον τοὺς οἰκείους ὑμετέρους αὐτῶν κεκτῆσθε. πιστοὺς εἶναι χρὴ περὶ τοὺς ἄλλους ὑμᾶς, οἵουπερ ἐμὲ περὶ ὑμᾶς ἀξιοῦτε γίνεσθαι.

3 Μὴ πειρᾶσθε πλουτεῖν μᾶλλον, ἢ χρηστοὶ δοκεῖν εἶναι. γιγνώσκοντες, ὅτι τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων οἱ μεγίστας ἐπ' ἀρετῇ δόξας ἔχοντες, πλείστων ἀγαθῶν

ἀγαθῶν δεατόταις καθίσεν) τὰς χρημαλισμὰς τὰς παρὰ τὸ δίκαιον γιγνομένας, ἡγεῖσθε μὴ κλέπτειν ἀλλὰ κίνδυνον ποιήσειν. μὴ τὸ μὲν λαβεῖν, κέρδος εἶναι νομίζετε· τὸ δ' ἀναλῶσαι, ζημίαν. ἑκάτερον γὰρ τούτων, αἰεὶ τὴν αὐτὴν ἔχει δύναμιν· ἀλλ' ὁπότερον ἂν ἐν καιρῷ καὶ μετ' ἀρετῆς γίγνηται τοῦτ' ὠφελήσει τοὺς ποιοῦντας.

4 Μηδὲ τοὺς ἐν χαλεπῶς ἔχετε τῶν ὑπ' ἐμοῦ πεπραπομένων. ὅσοι γὰρ ἂν ὑμῶν τῶν πολιτῶν τῶν ἐμῶν χρήσιμοι αὐτοὶ φαίνωνται, ὅτι πολίτας τοὺς οἴκους τοὺς ἑαυτῶν ὠφελήσουσιν.

5 Ὅ, τι ἂν ὑμῶν ἕκαστος αὐτὸς αὑτῷ τύχῃ συμφέρον, ἡγεῖσθαι μὴ ἧττον ἐμὲ λήσειν. ἀλλ' ἐὰν μὲν τὸ σῶμα τὸ ἐμὸν μὴ παρῇ, τοῦτό γε δίκαιον εἶναι τοῖς γιγνομένοις παρεσκευάσθαι· τούτου γὰρ τοῦ γνώμου ἔχοντες, σωφρονέστερον ἂν βουλεύσαισθε περὶ αὐτῶν. μηδὲν ἀποκρύπτεσθε, μήθ' ὧν κέκτησθε, μήθ' ὧν ποιεῖτε, μήθ' ὧν μέλλετε πράττειν· εἰδότες, ὅτι περὶ τὰ κεκρυμμένα τῶν πραγμάτων, ἀναγκαῖόν ἐστι πολλὰς φόβους γίνεσθαι· μὴ τεχνικῶς ζητεῖτε πολιτεύεσθαι, μηδ' ἀφανῶς· ἀλλ' ὅτως ἁπλῶς καὶ φανερῶς, ὥστε μήθ' ἁμαρτεῖν τινα ῥᾴδιον εἶναι ὑμᾶς διαβάλλειν δοκιμάζετε τὰς πράξεις· καὶ νομίζετε πονηρὰς μὲν, αἷς ἂν πράττοντες, ἐμὲ βούλησθε λανθάνειν· χρησὰς δὲ, περὶ ὧν ἐγὼ μέλλω πυθόμενος, βελτίους ὑμᾶς νομιεῖν.

6 Μὴ καταισχύνεσθε, ἐάν τινας ὁρᾶτε περὶ τοῦτο τὸ χρῆμα τοῦτο ἐμοὶ πονηροὺς ὄντας· ἀλλ' ἐξελέγχετε, καὶ νομίζετε, τὴν αὐτῆς εἶναι ζημίας ἀξίους τοὺς συγκρύπτοντας τοῖς ἐξαμαρτάνουσιν.

7 Εὐτυχεῖς δὲ νομίζετε μὴ τοὺς λανθάνοντας, ἐὰν μὴ κακὸν ποιήσωσιν, ἀλλὰ τοὺς μηδὲν ἐξαμαρτάνοντας.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11

τας. τὲς μὴν γὰρ, εἰκὸς τοιαῦτα παθεῖν οἷά περ αὐτοὶ ποιῶσι· τὲς δ', χάριν ἀπολαβεῖν, ἧς ἄξιοι τυγχάνειν ὄντες.

8 Ἑταιρίας μὴ ποιεῖτε, μήτε συνόδους, ἀλλὰ τῆς ἐμῆς γνώμης, αἱ γὰρ τοιαῦται συστάσεις ἐν μὲν ταῖς ἄλλαις πολιτείαις ὠφελοῦσι· ἐν δὲ ταῖς μοναρχίαις, κινδυνεύουσιν.

9 Μὴ μόνον ἀπέχεσθε τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ τῶν ἐπιτηδευμάτων τῶν τοιούτων, ἐν οἷς αἰσχρὸν ἐστιν ὑποψίαν λαβεῖν.

10 Τῇ ἐμοὶ φιλίαν ἀσφαλεστάτῃ καὶ βεβαιοτάτῃ εἶναι νομίζετε· καὶ διαφυλάττετε τὴν παροῦσαν κατάστασιν, καὶ μηδεμιᾶς ἐπιθυμεῖτε μεταβολῆς. εἰδότες ὅτι διὰ τὰς τοιαύτας ταραχὰς ἀναγκαῖον ἐστι καὶ τὰς πόλεις ἀπόλλυσθαι, καὶ σοῦ καὶ οἴκους καὶ ἰδίους ἀνατρέπεσθαι.

11 Μὴ μόνον τὰς φύσεις αἰτίας νομίζετε εἶναι χαλεπὸς ἢ πρᾴους εἶναι τοὺς τυράννους, ἀλλὰ καὶ τὸν τρόπον τῶν πολιτῶν· πολλοὶ γὰρ ἤδη, διὰ τὸ τῶν ἐρχομένων καινίαν, ταχύτερον ἢ κατὰ τὸ ἑαυτῶν γνώμην, ἄρχειν ἠναγκάσθησαν. διαῤῥεῖτε μὴ διὰ τὸ ἐμοὶ μᾶλλον πρᾳότητα, ἢ διὰ τὴν ὑμετέραν αὐτῶν ἀρετήν.

12 Τὴν ἐμοὶ ἀσφάλειαν, ἄδειαν ἑαυτοῖς εἶναι νομίζετε. καλῶς γὰρ τῶν ἐμὲ καθεστώτων, τὸν αὐτὸν τρόπον καὶ τὰ περὶ ὑμᾶς αὐτὸς ἕξει.

13 Ταπεινὸς μὲν εἶναι χρὴ πρὸς τὸ ἀρχὴν τὴν ἐμὴν, ἐμμένοντας τοῖς ἤθεσι, καὶ διαφυλάττοντας τὸς νόμους τὸς βασιλικούς· λαμπρὸς δ' ἔν τε τῷ ὑπὲρ τῆς πόλεως λειτουργίαις, καὶ τοῖς ὑπ' ἐμοῦ προστατουμένοις.

14 Προτρέπετε τὸς νεωτέρους ἐπ' ἀρετὴν, μὴ μόνον

νον θαμινοῶντες, ἀλλὰ καὶ περὶ τὰς πράξεις ὑποδηκνύντες αὐτοῖς, οἵοις εἶναι χρὴ τοὺς ἄνδρας τοὺς ἀγαθὸς διδάσκετε τοὺς παῖδας τοὺς ὑμετέρους αὐτῶν βασιλεύεσθαι, καὶ περὶ τὴν παίδευσιν τῆς τοιαύτης ἀρετῆς ἐπιζητεῖτε αὐτοὺς ὡς μάλιστα διατρίβειν· ἐὰν γὰρ ἄρχεσθαι μάθωσι, πολλῷ μᾶλλον ἄρχειν δυνήσονται. καὶ πρὸς μὲν ὄντες καὶ δίκαιοι, μεθέξουσι τῶν ὑμετέρων ἀγαθῶν καὶ οἱ ὑπήκοοι, κινδυνεύουσι δὲ τῶν ὑπαρχόντων. μέγιστον ἡγεῖσθε τοῖς πᾶσι βεβαιότατον εἶναι τὸν θάνατον, ἐὰν αὐτοῖς δυνήσθε τὴν ὑμετέραν εὔνοιαν καταλιπεῖν.

15 Ἀθλιωτάτους ἡγεῖσθε καὶ δυσυχεστάτους, ὅσοι περὶ τὰς πατρώνας ἄπιστοι γεγόνασιν. ἀνάγκη γὰρ τοὺς τοιούτους, ἀθύμως ἔχοντας, καὶ φοβουμένους ἅπαντας, καὶ μηδὲν μᾶλλον πιστεύοντας τοῖς φίλοις ἢ τοῖς ἐχθροῖς, τὸν ὑπόλοιπον χρόνον διάγειν. ζηλοῦτε μὴ τοὺς πολεῖσι κεκτημένους, ἀλλὰ τοὺς μηδὲν κακὸν σφίσιν αὐτοῖς συνειδότας. μετὰ γὰρ τοιαύτης ψυχῆς ἥδιον ἄν τις τὸν βίον δυνάιτο διάγειν.

16 Μὴ τὸν κακίαν δυνάσθαι μὲν πολέον τ' ἀρετῆς ὠφελεῖν νομίζετε, τὸ δ' ὄνομα δυσχερέστερον ἔχειν. ἀλλ' ὥσπερ ἐνομάτων ἕκαστα τ' πραγμάτων τετύχηκε, τοιαύτας ἡγεῖσθε καὶ τὰς δυνάμεις αὐτῶν εἶναι.

17 Μὴ φθονεῖτε τοῖς παρ' ἐμοῦ πρωτεύουσιν· ἀλλ' ἀμιλᾶσθε, καὶ πειρᾶσθε, χρησὸς ὑμᾶς αὐτοὺς παρέχοντες, ἐξισοῦσθαι τοῖς πρώτοις· φιλεῖν οἴεσθε δεῖν καὶ ὑμᾶς, ὥσπερ καὶ ὁ βασιλεύς· ἵνα καὶ παρ' ἐμοῦ τυγχάνητε τῶν αὐτῶν τούτων.

18 Οἷά περ παρόντος ἐμοῦ λέγετε, τοιαῦτα καὶ ἀπόντος φρονεῖτε.

19 Τὸν

19 Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς, ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον, ἢ τοῖς λόγοις. ἃ πάσχοντες ὑφ' ἑτέρων ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε. πρὸς ὧν αὖ ἐν τοῖς λόγοις κατηγορῆτε, μηδὲν τούτων ἐν τοῖς ἔργοις ὑπομένετε. τοιαῦτα προσδοκᾶτε πάσχειν, οἷα αὖ πρὸς ἡμῶν ἀφανοῦσθε. μὴ μόνον ἐπαινεῖτε τοὺς ἀγαθοὺς, ἀλλὰ καὶ μιμεῖσθε.

20 Τοὺς λόγους τοὺς ἐμοὺς, νόμους εἶναι νομίζετε· καὶ πράττετε τούτοις ἐμμένοντες· εἰδότες, ὅτι τοῖς μάλιστα πιστοῖσιν ὑμῶν ἃ βούλομαι, τούτοις ἐξέσται ζῆν ὡς αὐτοὶ βούλονται. κεφάλαιον δὲ τῶν εἰρημένων. οἷσπερ αὐτὸς ὑφ' ὑμῶν ἀρχόμενος οἴεσθε δεῖν πρὸς ὑμᾶς εἶναι, τοιούτους χρὴ πρὸς τὴν ἀρχὴν τὴν ἐμὴν ὑμᾶς γίνεσθαι. καὶ ταῦτ' ἐὰν ποιῆτε, τί δεῖ πρὸς τῶν συμβεβουλευμένων μακρολογεῖν; ἐγὼ γὰρ ἐγώ τε παρέχω σπουδὴν ἐμαυτὸν, οἷον περ ἐν τῷ παρελθόντι χρόνῳ, καὶ τὰ παρ' ὑμῶν ὁμοίως ὑπηρετῆται. ταχέως ὄψεσθε, καὶ τὸν βίον τὸν ὑμέτερον αὐτῶν ὑπεδεδωκότα, καὶ τὴν ἀρχὴν τὴν ἐμὴν ἠυξημένην, καὶ τὴν πόλιν εὐδαίμονα γεγενημένην. Ἄξιον μὲν οὖν, τηλικούτων ἀγαθῶν ἕνεκα μηδὲν ἐλλείπειν, ἀλλὰ καὶ πόνους καὶ κινδύνους ὑπομένειν· ὑμῖν δ' ἔξεστι μηδὲν παραπορεύεσθαι, ἀλλὰ πίστεις μόνον καὶ δικαίους εἶναι, ἅπαντα ταῦτα παραπράξασθαι.

ΤΕΛΟΣ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
385 L 11